BYZANTINE GREEK SERIES · VOLUME 56

The Lives of Holy Women

ΒΙΟΣ ΤΗΣ ΑΓΙΑΣ ΣΥΓΚΛΗΤΙΚΗΣ
ΒΙΟΣ ΤΗΣ ΟΣΙΑΣ ΜΕΛΑΝΗΣ
ΒΙΟΣ ΜΑΡΙΑΣ ΑΙΓΥΠΤΙΑΣ

The Lives of Holy Women

Syncletica, Melania the Younger,
Pelagia, Thaïs, and Mary of Egypt

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 56 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows Migne's Patrologia Graeca 28 and 87.3 (Paris, 1857, 1865), Delehaye's text in the Analecta Bollandiana 22 (1903), Usener's Legenden der Pelagia (1879), and Nau's Histoire de Thaïs (1903)

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The margin gives the edition's section number where a paragraph begins.

CONTENTS

PSEUDO-ATHANASIUS · THE LIFE OF SYNCLETICA

Birth, Youth, and Renunciation 9
The Hidden Life 21
Love, Chastity, and the Senses 30
On Poverty 39
On Grief and Watchfulness 48
On Pride and Humility 56
On Love, Anger, and Slander 68
Three Kinds of Life; Almsgiving 76
On Fate and Free Will 86
Order in the Spiritual Life 96
Counsels for the Monastery 105
Her Last Illness and Death 115

GERONTIUS · THE LIFE OF MELANIA THE YOUNGER

Marriage and the First Renunciation 129
Poverty, Charity, and Serena 141

GERONTIUS · THE LIFE OF MELANIA THE YOUNGER

(continued)

The Sale of Their Wealth 152
Africa and Her Asceticism 164
Jerusalem and the Monks of Egypt 178
Her Monastery and Her Teaching 187
Constantinople and Her Uncle's Baptism 200
Return to Jerusalem and the Empress 215
Her Last Teachings 225
Her Death and Burial 236

JACOB THE DEACON · THE REPENTANCE OF PELAGIA

Nonnus and the Dancer 247
Her Baptism 256
The Devil Routed and the Cell on the Olives 265

ANONYMOUS · THE REPENTANCE OF THAÏS

The Repentance of Thaïs 279

SOPHRONIUS OF JERUSALEM · THE LIFE OF MARY OF EGYPT

Zosimas 295
The Meeting in the Desert 308
Her Life and Conversion 321
Forty-Seven Years in the Desert 334
Communion, Death, and Burial 344

PSEUDO-ATHANASIUS

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΑΚΑΡΙΑΣ ΚΑΙ ΔΙΔΑΣΚΑΛΟΥ ΣΥΓΚΛΗΤΙΚΗΣ

The Life of Syncletica

No one can tell Syncletica's deeds worthily, the author says, but he will set down what he learned from those who knew her. Her forebears came from Macedonia to Alexandria; beautiful and rich, she refused every suitor, a disciple of Thecla with Christ for her bridegroom, and kept her body under by fasting. When her parents died she gave her property to the poor, had a presbyter cut off her hair, and withdrew with her blind sister to a kinsman's tomb outside the city, where she at once outran women long in the solitary life.

Ἔδει πάντας ἀνθρώπους τῶν καλῶν μὴ ἀμυήτους 1
it-was-right all men of-the good(-things) not uninitiated
ὑπάρχειν. Οὕτω γὰρ ἂν ἐγγεγυμνασμένοι τοῖς πράγμασιν
to-be so for — trained in-the affairs
εἰ εἶεν, τὸ ἀζήμιον εἶχον ἐν βίῳ· καὶ γοῦν
if they-were the freedom-from-loss they-would-have in life and at-any-rate
τοὺς ἀκεραιοτέρους τὰ πολλὰ τῶν χρηστῶν διέλαθεν.
the more-simple the many of-the good(-things) escaped(-notice)
Τοῦτο δὲ πεπόνθασιν ἐκ τοῦ τὴν διάνοιαν αὐτοῖς
this but they-have-suffered from the the mind for-them
ἀμβλυωτέραν καθεστάναι ὑπὸ τῆς ἀμελείας. Πολλάκις γὰρ
duller to-have-become by the negligence often for
καὶ μαργαρῖται πολύτιμοι εἰς πένητας παρῆλθον ἄνδρας.
even pearls very-precious to poor passed men
Οἱ δὲ ἀδοκίμαστον τὴν περὶ τούτων τέχνην ἔχοντες,
they but untested the about these-things skill having
ὡς μικρῶν τινων καὶ οὐδαμινῶν κατεφρόνησαν. Ἡμεῖς
as small some(-things) and worthless despised we
γοῦν, νηπίαν καὶ ἀνάσκητον ψυχὴν ἔχοντες, τῷ παρόντι
at-any-rate (a)-childish and untrained soul having the present
ἐντυγχάνοντες μαργαρίτῃ, οὐδὲν μέγα τοῦτον θεωροῦμεν,
coming-upon pearl nothing great this(-one) we-consider

τῷ σχήματι μόνῳ ἐνατενίζοντες, τῆς δὲ φύσεως αὐτοῦ,
at-the form only gazing of-the but nature its
ὅσον πρὸς γνῶσιν, μακρὰν τυγχάνοντες. Ὡς δὲ κατ᾽ ὀλίγον
as-far-as toward knowledge far being as but by little
ἐκ τῶν πέλας ἐδιδασκόμεθα τὸ κάλλος αὐτοῦ, θεῖος ἔρως
from the neighbors we-were-taught the beauty its divine love
καὶ ἡμῖν ἐνεγεννᾶτο πρὸς τὸ ὀφθέν· καὶ γὰρ αὐτὰ τὰ
also in-us was-engendered toward the(-thing) seen and for very the
πράγματα ἐζωπύρει ἡμῶν πρὸς τὸν πόθον τὴν διάνοιαν.
things kindled our toward the longing the mind

2 Τί δὲ λέγω τοὺς παρόντας, ἢ καὶ ἑαυτὸν
why but do-I-speak-of the(-ones) present or even myself
συγκαταριθμῶ τούτοις, ὥς τι εἰδότων ἡμῶν καὶ
count-among these as something knowing we and
λεγόντων περὶ τῆς ἀοιδίμου καὶ μακαρίας Συγκλητικῆς;
saying about the celebrated and blessed Syncletica
Οἶμαι γὰρ πᾶσαν ἀνθρώπων φύσιν λείπεσθαι πρὸς
I-think for all of-men nature to-fall-short toward
διήγησιν τῶν ἀγαθῶν αὐτῆς πράξεων. Εἰ δὲ καί τις
(the)-telling of-the good her deeds if but even someone
ἐπιχειρήσειε λέγειν τι περὶ αὐτῆς, πολὺ μὲν καὶ
should-attempt to-say something about her much indeed and
ἄπειρον ἀπολειφθήσεται τῶν ζητουμένων, κἂν σοφὸς,
boundless will-be-left-behind of-the(-things) sought even-if wise
κἂν ἐπιστήμων τυγχάνῃ. Ὥσπερ γὰρ οἱ τῷ ἡλίῳ
even-if skilled he-be just-as for those the sun
ἀτενίσαι βουλόμενοι τὰς ὄψεις βλάπτονται, οὕτω καὶ
to-gaze-at wishing the eyes are-harmed so also
οἱ κατοπτρίζεσθαι τῷ βίῳ ταύτης πειρώμενοι, ὑπὸ τοῦ
those to-mirror-themselves in-the life of-her trying by the

μεγέθους τῶν κατορθωμάτων ἰλιγγιάσαντες, ὑπενδόντες
greatness of-the achievements having-grown-dizzy having-given-way
ἢ καὶ ἀτονήσαντες, σύγχυσιν ὑφίστανται τῇ διανοίᾳ.
or even having-grown-faint confusion undergo in-the mind
Ἡμεῖς δὲ κατὰ τὴν ἰδίαν δύναμιν ἰχνηλατοῦντες τὰ 3
we but according-to the own power tracking the(-things)
κατ᾽ αὐτὴν, καὶ ἐκ τῶν συνηλίκων δὲ αὐτῆς τὰ κατὰ
about her and from the contemporaries and her the(-things) concerning
τὸν πρῶτον βίον ἀκροθιγῶς ἀκούσαντες, καὶ ἐξ αὐτῶν δὲ
the first life superficially having-heard and from very and
τῶν πραγμάτων ἀμυδρῶς καταυγασθέντες, ἐπὶ τὸ γράφειν
the deeds dimly having-been-illumined to the writing
ἤκομεν, ἑαυτοῖς τροφὰς σωτηριώδεις ἀποθησαυρίζοντες.
we-have-come for-ourselves food saving storing-up
Τὸ μὲν γὰρ κατ᾽ ἀξίαν αὐτῆς λέγειν οὐ μόνον
the(-thing) indeed for according-to worth her to-tell not only
ἡμῖν ἀδύνατον, ἀλλὰ καὶ τοῖς πολλοῖς δυσχερές.
for-us impossible but also for-the many difficult
Ἡ τῆς οὐρανίου συγκλήτου ἐπώνυμος, χώρας τῆς 4
the(-one) of-the heavenly senate named-after of-(the)-country —
Μακεδονίας τυγχάνει. Ἀκηκοότων γὰρ τῶν προγόνων
of-Macedonia happens(-to-be) having-heard for the forebears
αὐτῆς τὸ φιλόθεον καὶ φιλόχριστον τῶν Ἀλεξανδρέων,
her the God-loving and Christ-loving of-the Alexandrians
κατελάμβανον ἐκ Μακεδονίας τὴν τοῦ Μακεδόνος πόλιν.
they-came-to from Macedonia the of-the Macedonian city
Ἐπιβάντων δὲ αὐτῶν τῇ χώρᾳ, καὶ μείζω εὑρόντες
having-set-foot but they on-the country and greater having-found
τῆς φήμης τὰ πράγματα, φιλοφρόνως ᾤκουν αὐτήν.
than-the report the things kindly inhabited it
Οὐ πλήθει δὲ δήμων συνέχαιρον, οὔτε μὴν οἰκημάτων
not at-the-multitude but of-peoples they-rejoiced nor indeed of-buildings

ἐθαύμαζον μέγεθος· πίστιν δὲ μονότροπον εὑρόντες σὺν
marveled-at (the)-greatness faith but single-minded having-found with
εἰλικρινεῖ ἀγάπῃ, δευτέραν ἔθεντο τὴν οἰκείαν τῆς μετοικίας.
sincere love second they-made the own(-land) to-the migration
5 Ἦν δὲ καὶ τῷ γένει περίβλεπτος ἡ μακαρία Συγκλητικὴ,
was and also in-the family conspicuous the blessed Syncletica
καὶ τοῖς ἄλλοις δὲ τοῖς κατὰ τὸν κόσμον τερπνοῖς
and with-the other and the(-things) in the world delightful
νομιζομένοις ἐκεκόσμητο. Παρῆν δὲ αὐτῇ καὶ ἀδελφὴ
thought she-was-adorned was-present and with-her also (a)-sister
ὁμόφρων ἅμα, καὶ ἀδελφοὶ δύο, σεμνοτάτῳ καὶ αὐτοὶ
like-minded together and brothers two in-(a)-most-reverent also themselves
ἀναχθέντες βίῳ· ὧν ὁ μὲν εἷς, ἐν τῇ παιδικῇ ἡλικίᾳ
having-been-brought-up life of-whom the indeed one in the childish age
τυγχάνων, ἀπεγένετο· ὁ δὲ ἕτερος, ἐπιβὰς πέμπτῳ καὶ
being departed the but other having-reached (the)-fifth and
εἰκοστῷ ἔτει, παρὰ τῶν γονέων εἰς γάμον παρεκαλεῖτο· καὶ
twentieth year by the parents to marriage was-urged and
πάντων πρὸς τὸ ζητούμενον εὐτρεπισθέντων, καὶ τῶν
all(-things) for the(-thing) sought having-been-made-ready and the(-rites)
ἐξ ἔθνους συμβολικῶν ἐκτελουμένων, ἀπέπτη ὁ νέος ὥσπερ
from custom symbolic being-performed flew-away the youth like
ὄρνεον ἐκ βρόχων, ἀνταλλαγὴν ποιησάμενος τῆς ἐπιγείου
(a)-bird from snares (an)-exchange having-made of-the earthly
νύμφης, τὴν ἄμωμον καὶ ἐλευθέραν τῶν ἁγίων σύνοδον.
bride the blameless and free of-the saints company
6 Αὕτη δὲ ἔτι ἐν ταῖς πατρῴαις ἀγκάλαις τυγχάνουσα,
she but still in the paternal arms being
φιλοθεΐᾳ μὲν τὸ πρῶτον τὴν ψυχὴν ἠσκεῖτο· καὶ οὐχ
with-love-of-God indeed the first the soul trained and not

οὕτω τὰς τοῦ σώματος ἐπιμελείας ἐποιεῖτο, ὡς τὰς τῆς
so the of-the body care made as the of-the
φύσεως ὁρμὰς ἐπετήρει.
nature impulses she-watched-over
Ἦν γὰρ καὶ κατὰ τὸ σῶμα περικαλλεστάτη, ὡς καὶ 7
she-was for also in the body most-beautiful so-that also
πολλοὺς αὐτῇ μνηστῆρας προσιέναι κατὰ τὴν πρώτην
many to-her suitors to-come in the first
ἡλικίαν· τοῦτο μὲν ὑπὸ τῆς περιουσίας δελεαζομένους,
age partly indeed by the wealth being-lured
τοῦτο δὲ καὶ ὑπὸ τῆς τῶν γονέων κοσμιότητος, καὶ πρὸς
partly but also by the of-the parents decorum and besides
ἐπὶ τούτοις ὑπ᾽ αὐτῆς τῆς κόρης τοῦ κάλλους ἐξαπτομένους.
upon these by very the girl of-the beauty being-inflamed
Καὶ γοῦν οἱ γονεῖς ἀσμένως προετρέποντο τὴν νέαν
and at-any-rate the parents gladly urged the young(-woman)
εἰς γάμον, αὐτὸ τοῦτο ἐπείγοντες, ὡς ἐξ αὐτῆς τὴν
to marriage very this pressing that from her the
τοῦ γένους διαδοχὴν αὐτοῖς φυλαχθῆναι. Ἡ δὲ σώφρων
of-the race succession for-them be-kept she but chaste
καὶ γενναία τῷ φρονήματι, οὐδόλως συνετίθετο ταῖς
and noble in-the spirit not-at-all agreed with-the
τοιαύταις τῶν γονέων συμβουλίαις· ἀλλὰ γάμον ἀκούουσα
such of-the parents counsels but marriage hearing
κοσμικὸν, γάμον θεῖον ἐφαντάζετο· καὶ πολλοὺς μνηστῆρας
worldly marriage divine she-imagined and many suitors
παρορῶσα, εἰς μόνον τὸν οὐράνιον νυμφίον εἶχε τὸ νεῦμα.
overlooking to only the heavenly bridegroom had the inclination
Καὶ ἦν ἰδεῖν τῆς μακαρίας Θέκλης γνησίαν 8
and it-was(-possible) to-see of-the blessed Thecla (a)-true
μαθήτριαν, τοῖς αὐτοῖς αὐτὴν ἑπομένην διδάγμασι. Καὶ
disciple the same her following teachings and

γὰρ τῶν δύο εἷς μνηστὴρ ἦν ὁ Χριστὸς, καὶ αὐτὸς ἦν
for of-the two one suitor was — Christ and the-same was
τῶν ἀμφοτέρων νυμφαγωγὸς Παῦλος· οἶμαι δὲ καὶ τὸν
of-the both bride-leader Paul I-think but also the
θάλαμον αὐταῖς μὴ ἐναλλάττειν· εἷς γὰρ αὐταῖς παστὸς
bridal-chamber for-them not to-differ one for for-them (the)-bridal-bed
ἡ Ἐκκλησία, καὶ ὁ αὐτὸς Δαβὶδ μελῳδεῖ ἐπ' ἀμφοτέρων
the Church and the same David sings over both
τὰ σεμνὰ καὶ θεῖα ᾄσματα. Καὶ γὰρ ἐν κυμβάλοις
the solemn and divine songs and for with cymbals
εὐήχοις τέρπει τὰς Θεῷ ἀνατεθείσας ψυχὰς, καὶ ἐν
well-sounding he-delights the to-God dedicated souls and with
τυμπάνοις καὶ ἐν δεκαχόρδοις ψαλτηρίοις τὴν τελειοτάτην
timbrels and with ten-stringed psalteries the most-perfect
ᾠδὴν ἀναπέμπει. Μαριὰμ δὲ τοῖς ἱεροῖς τούτοις γάμοις
ode sends-up Miriam and to-the sacred these marriages
τὰς χορευτρίας εἰσάγει, λέγουσα· Ἄσωμεν τῷ Κυρίῳ·
the dancers brings-in saying let-us-sing to-the Lord
ἐνδόξως γὰρ δεδόξασται. Καὶ τὰ ὄψα δὲ τοῦ θείου
gloriously for he-has-been-glorified and the dishes and of-the divine
δείπνου κοινὰ τοῖς ἑστιωμένοις· Γεύσασθε γὰρ, καὶ
supper (are)-common to-the(-ones) feasting taste for and
ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος. Καὶ ἡ τῶν νυμφικῶν δὲ
see that good (is)-the Lord and the of-the bridal and
αὐταῖς περιβλημάτων μία τις ὑφή· Ὅσοι γὰρ εἰς Χριστὸν
for-them garments one some weave as-many-as for into Christ
ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο. Ὁμότροπος οὖν αὐταῖς
were-baptized Christ put-on alike then for-them
ἦν ἡ πρὸς Κύριον ἀγάπη· τῶν γὰρ αὐτῶν ἠξιοῦντο
was the toward (the)-Lord love of-the for same they-were-deemed-worthy
δωρεῶν· ἀλλὰ καὶ τοῖς αὐτοῖς ἀγῶσιν ἡμιλλῶντο. Τὰ
gifts but also in-the same contests they-vied the(-things)

μὲν γὰρ τῆς μακαρίας Θέκλης οὐδενὶ ἠγνόηται
indeed for of-the blessed Thecla to-no-one has-been-unknown
μαρτύρια, ὡς διὰ πυρὸς καὶ θηρίων ἀτιθάσσων αὐτὴν
testimonies how through fire and beasts savage she
ἐνηθληκέναι· καὶ ταύτης τοὺς ἐναρέτους πόνους τε
to-have-contended and of-this(-one) the virtuous labors and
καὶ ἱδρῶτας οἶμαι τοὺς πολλοὺς μὴ λανθάνειν. Εἰ
and sweats I-think the many not to-escape(-the-notice-of) if
γὰρ εἷς Σωτὴρ ἦν αὐταῖς ὁ ποθούμενος, ἀναγκαίως
for one Savior was for-them the(-one) longed-for necessarily
καὶ εἷς αὐταῖς ὁ ἀντιτασσόμενος. Καὶ τῇ μὲν
also one for-them the(-one) opposing and — indeed
Θέκλῃ πραϋτέρους ὑπολαμβάνω τοὺς πόνους· καθῄρητο
for-Thecla milder I-suppose the labors had-been-destroyed
γὰρ ἡ τοῦ ἐχθροῦ κακία, διὰ τῶν ἐκτὸς αὐτῇ
for the of-the enemy malice through the(-things) outside her
προσομιλοῦντος· ἐνταῦθα δὲ δριμυτέραν ἑαυτοῦ τὴν κακίαν
assailing here but sharper his-own the malice
ἐπιδείκνυται, ἐκ τῶν ἔνδον διὰ τῶν ἐναντίων καὶ
he-displays from the(-things) within through the contrary and
ὀλεθρίων ἑαυτοῦ λογισμῶν κινούμενος.
destructive his-own thoughts moving
Οὐκ ἐγοήτευσεν αὐτῆς τὸ ὄμμα ποικίλης ἐσθῆτος ὑφὴ, 9
not bewitched her the eye of-(a)-varied garment (the)-weave
οὐδὲ λίθων πολυτελῶν διάφορα χρώματα· οὐκ ἠπάτησεν
nor of-stones costly (the)-various colors not deceived
αὐτῆς τὴν ἀκοὴν κύμβαλον, οὐδ' αὐλὸς διαλῦσαι δεδύνηται
her the hearing (a)-cymbal nor (a)-flute to-loosen has-been-able
τὸν τῆς ψυχῆς αὐτῆς τόνον. Οὐκ ἐμάλαξεν αὐτὴν γονέων
the of-the soul her tension not softened her of-parents
δάκρυα, οὐδὲ ἑτέρα τις συγγενῶν παραίνεσις· ἀλλ' ὥσπερ
tears nor other any of-kinsmen exhortation but as

ἀδάμαντα τὸν λογισμὸν ἔχουσα, οὐ παρετράπη τὸν
adamant the reasoning having not was-turned the
νοῦν· καὶ ὥσπερ θυρίδας τὰς πάσας αἰσθήσεις αὐτῆς
mind and as windows the all senses her
ἀποκλείουσα, τῷ ἑαυτῆς νυμφίῳ καταμόνας προσωμίλει,
shutting to-the her-own bridegroom alone she-conversed
τὸ γραφικὸν ἐκεῖνο λέγουσα· Ὡς ἐγὼ τῷ ἀδελφιδῷ μου,
the scriptural that(-word) saying as I to-the beloved my
καὶ ὁ ἀδελφιδός μου ἐμοί. Καὶ εἰ μὲν καπνώδεις καὶ
and the beloved my to-me and if indeed smoky and
σκοτειναὶ ὁμιλίαι παρῆσαν, ταύτας ἀπέφευγε, τοῖς ἔνδον
dark conversations were-present these she-fled into-the inner
ταμείοις τῆς ψυχῆς ἑαυτὴν συνάγουσα· ὅπου δὲ φωτειναὶ
chambers of-the soul herself gathering where but bright
καὶ ἐπωφελεῖς παραινέσεις ἐτύγχανον, πᾶσαν ἑαυτῆς τὴν
and profitable exhortations were all her-own the
διάνοιαν ἔτεινε πρὸς ὑποδοχὴν τῶν λεγομένων.
mind she-stretched toward (the)-reception of-the(-things) said
10 Οὐκ ἠμέλει δὲ καὶ τοῦ κατὰ τὸ σῶμα σωτηρίου φαρμάκου·
not she-neglected and also the for the body saving remedy
τήν τε γὰρ νηστείαν οὕτως εἶχε φίλην, ὡς μηδένα αὐτῇ
the both for fasting so she-held dear that no-one to-her
τῶν παρόντων ἴσον τυγχάνειν. Φυλακὴν γὰρ καὶ θεμέλιον
of-the(-ones) present equal to-be (a)-guard for and foundation
ταύτην ἡγεῖτο τῶν ἄλλων. Καὶ εἴ ποτε ἀνάγκης γενομένης
this she-considered of-the others and if ever necessity having-arisen
παρὰ τὸν συνήθη καιρὸν ἐτράφη, τὸ ἐναντίον ὑφίστατο τοῖς
beside the usual time she-was-fed the opposite she-underwent to-those
ἐσθίουσιν· ὠχρία γὰρ αὐτῆς τὸ πρόσωπον, καὶ συνέπιπτεν
eating grew-pale for her the face and fell-in
ὁ τοῦ σώματος ὄγκος· τοῦ γὰρ κινοῦντος ἀηδισθέντος,
the of-the body bulk the for mover being-disgusted

συναλλοιοῦται καὶ τὸ κινούμενον. Ὅπως γὰρ ἂν ἡ ἀρχὴ
is-altered-with also the(-thing) moved however for — the principle
διατεθῇ, ὡς ἐπίπαν ἀκολουθεῖ ταύτῃ καὶ τὰ ἐκ ταύτης
be-disposed as on-the-whole follow it also the(-things) from it
ἠρτημένα. Οἷς μὲν γὰρ ἡ τροφὴ καὶ ἡδονὴν γίνεται καὶ
hanging to-whom indeed for the food both pleasure becomes and
προσφέρεται, εὐθαλὴς ὁ τοῦ σώματος ὄγκος ἐστίν· οἷς
is-taken flourishing the of-the body bulk is to-whom
δὲ τὸ ἐναντίον συμβαίνει, ἄτροφος καὶ λεπτὴ ἡ σὰρξ
but the opposite happens ill-fed and thin the flesh
τυγχάνει. Μαρτυροῦσι δέ μου τῷ λόγῳ οἱ ἀῤῥωστοι. Ἡ
is bear-witness and my to-the word the sick the
γοῦν μακαρία αὕτη, νοσηλεύειν πειρωμένη τὸ σῶμα,
at-any-rate blessed(-woman) this(-woman) to-nurse trying the body
τῇ ψυχῇ τὸ εὐανθὲς ἔφερε· κατὰ γὰρ τὸν Ἀπόστολον
to-the soul the bloom brought according-to for the Apostle
λέγοντα ἔπραττεν· Ὅσῳ γὰρ ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος
saying she-acted as-much-as for the outward our man
φθείρεται, φησὶν, τοσοῦτον ὁ ἔνδον ἀνακαινοῦται. Οὕτω
perishes he-says so-much the inner(-one) is-renewed thus
μὲν οὖν ἐνήθλει λανθάνουσα τοὺς πολλούς.
indeed then she-contended escaping(-the-notice-of) the many
Ὅτε δὲ οἱ γονεῖς αὐτῆς τέλος ἔσχον τοῦ βίου, ἐπὶ 11
when but the parents her (an)-end had of-the life to
πλεῖον θεοφορηθεῖσα τῷ θείῳ φρονήματι, λαμβάνει
more borne-by-God in-the divine purpose she-takes
καὶ τὴν ἀδελφὴν μεθ' ἑαυτῆς· ἦν γὰρ στερηθεῖσα
also the sister with herself she-was for deprived
τῶν ὄψεων· καὶ τῶν μὲν πατρῴων οἴκων χωρίζεται·
of-the sight and from-the indeed paternal houses she-separates
εἰς δέ τινος συγγενοῦς αὐτῆς ἠρωεῖον ἀπῳκισμένον
to and of-some kinsman her tomb removed-from

τῆς πόλεως κατάγεται· καὶ διαπωλήσασα πᾶσαν τὴν
the city she-takes-lodging and having-sold all the
καταλειφθεῖσαν αὐτῇ οὐσίαν, καὶ διανείμασα τοῖς
left to-her property and having-distributed(-it) to-the
πένησι, προσκαλεσαμένη τινὰ τῶν πρεσβυτέρων, ἀπέτεμεν
poor having-called-to-(her) one of-the presbyters she-cut-off
ἑαυτῆς τοὺς πλοκάμους. Τότε τὴν πᾶσαν κόσμησιν
her-own the locks then the all adornment
ἀπέθετο· ἔθος γὰρ ταῖς γυναιξὶ κόσμον καλεῖν τὴν
she-laid-aside (a)-custom for for-the women adornment to-call the
τρίχα. Σύμβολον δὲ ἦν τὸ γινόμενον τοῦ ἀπέριττον
hair (a)-symbol and was the(-thing) happening of-the free-of-excess
καὶ καθαρὰν τὴν ψυχὴν αὐτῆς γεγενῆσθαι. Τότε μὲν οὖν
and pure the soul her to-have-become then indeed then
πρῶτον ἠξιώθη τῆς παρθενικῆς προσηγορίας.
first she-was-deemed-worthy of-the virginal name

12 Πᾶσαν δὲ τὴν οὐσίαν αὐτῆς τοῖς πτωχοῖς διανείμασα,
all and the property her to-the poor having-distributed
ἔλεγε· Μεγάλου μὲν ἠξίωμαι ὀνόματος· Τί δὲ
she-said of-(a)-great indeed I-have-been-deemed-worthy name what but
ἀνταποδώσω ἐπάξιον τῷ δωρησαμένῳ, οὐκ ἔχω. Εἰ
shall-I-repay worthy to-the(-one) having-given not I-have if
γὰρ ἐπὶ τῶν ἐκτὸς πραγμάτων, ἕνεκεν ἀξιώματος
for in the outward affairs for-the-sake-of rank
φθαρτοῦ, πᾶσαν ἑαυτῶν τὴν οὐσίαν ἀποβάλλουσι· πόσῳ
perishable all their-own the property they-throw-away how-much
μᾶλλον ἐμὲ, τοσαύτης ἀξιωθεῖσαν χάριτος, οὐκ
more me such having-been-deemed-worthy-of grace not
ἄρα ἔδει μετὰ τῶν νομιζομένων ὑπαρχόντων προδοῦναι
then was-it-right with the thought possessions to-give-up
καὶ τὸ σῶμα; Τί δὲ λέγω κτήματα ἢ σῶμα δοῦναι,
also the body why but do-I-speak-of possessions or body to-give

πάντων αὐτοῦ ὑπαρχόντων; Τοῦ γὰρ Κυρίου ἡ γῆ
all(-things) his being of-the for Lord (is)-the earth
καὶ τὸ πλήρωμα αὐτῆς. Διὰ τούτων μὲν τῶν λόγων τὴν
and the fullness its by these indeed the words the
ταπεινοφροσύνην ἐγκομβωσαμένη, ἡσύχαζεν.
humility having-put-on she-kept-quiet
Ἦν μὲν οὖν καὶ ἐν ταῖς πατρικαῖς αὐλαῖς ἱκανῶς 13
she-was indeed then also in the paternal halls sufficiently
προγυμνασθεῖσα τοῖς πόνοις· καὶ ἐν αὐτῇ δὲ τῇ ἀκμῇ
trained-beforehand in-the labors and in very and the prime
τοῦ σταδίου ἀχθεῖσα, προέκοπτε ταῖς ἀρεταῖς. Ὅσοι
of-the stadium having-been-led she-advanced in-the virtues as-many-as
μὲν οὖν ἀγυμνάστως καὶ ἀσκέπτως προσῆλθον τῷ
indeed then untrained and unthinkingly approached to-the
θείῳ τούτῳ μυστηρίῳ, ἀπέτυχον τοῦ ζητουμένου, μὴ
divine this mystery failed-of the(-thing) sought not
προθεωρήσαντες τὰ καθ' ἕκαστον· ὥσπερ δὲ οἱ
having-considered-beforehand the(-things) in detail as but those
ὁδοιπορεῖν μέλλοντες τῶν ἐφοδίων πρῶτον φροντίζουσιν,
to-travel going of-the provisions first take-thought
οὕτως καὶ αὕτη, ὥσπερ ἐφοδίοις ἑαυτὴν, τοῖς πάλαι
so also she as with-provisions herself with-the long-ago
πόνοις εὐτρεπίσασα, ἀδεῶς τὴν ἐπὶ τὰ ἄνω πορείαν
labors having-made-ready fearlessly the toward the(-things) above journey
ἐποιήσατο· τὰ γὰρ εἰς τὸν ἀπαρτισμὸν τῆς οἰκίας
made the(-things) for for the completion of-the house
προαποθεμένη, ὀχυρώτατον τὸν ἑαυτῆς ἐξετέλει πύργον.
having-laid-up-beforehand most-secure the her-own she-finished tower
Καὶ τὸ μὲν καθ' ἱστορίαν τῶν οἰκημάτων ποίημα ἐκ
and the indeed by (the)-account of-the buildings work from
τῶν ἔξωθεν ὑλῶν κατασκευάζεται· αὕτη δὲ τὸ ἐναντίον
the outward materials is-constructed she but the opposite

πεποίηκεν· οὐ γὰρ τὰς ἔξωθεν ὕλας συνήγαγεν, ἀλλὰ
has-done not for the outward materials she-gathered but
μᾶλλον τὰς ἔσωθεν ἐκένωσε. Τὰ γὰρ χρήματα
rather the(-ones) inward she-emptied the(-things) for possessions
ἑαυτῆς διαδοῦσα τοῖς πένησι, καὶ καταλιποῦσα ὀργὴν καὶ
her-own having-distributed to-the poor and having-left anger and
μνησικακίαν, ἀπωσαμένη δὲ καὶ φθόνον καὶ φιλοδοξίαν,
grudge-bearing having-thrust-away and also envy and love-of-glory
ᾠκοδόμησε τὴν οἰκίαν ἑαυτῆς ἐπὶ τὴν πέτραν, ἧς
she-built the house her-own on the rock of-which
περιφανὴς ὁ πύργος καὶ ἀχείμαστος ἡ οἰκία.
conspicuous (is)-the tower and storm-proof the house

14 Καὶ τί πολλὰ λέγω; ὑπερέβαινε γὰρ διὰ τῶν ἀρχῶν
and why many(-things) do-I-say she-surpassed for through the beginnings
καὶ τὰς ἐν ἕξει τοῦ μονήρους βίου τυγχανούσας.
even the(-women) in (the)-habit of-the solitary life being
Ὥσπερ γὰρ τὰ εὐφυέστατα τῶν παιδίων, ἔτι ἐν ταῖς
as for the most-gifted of-the children still in the
συλλαβαῖς ὄντα, ἁμιλλῶνται τοῖς ἐν ἡλικίᾳ καὶ πλείω
syllables being vie with-those in age and more
χρόνον ἔχουσι παρὰ τοῖς διδασκάλοις· οὕτω καὶ αὕτη,
time having with the teachers so also she
ζέουσα τῷ πνεύματι, παρέτρεχε τὰς λοιπάς.
boiling in-the spirit outran the rest

She let no one witness her ascetic life, shunning men and most women so as not to be praised, pruning the first stirrings of the soul like a gardener, calling on her Master in prayer whenever the enemy attacked and easing her rigor once he was beaten. When the fame of her labors spread, women came asking how one is to be saved; after long tears and silence she answered with a verse of Scripture, and at last, pressed by them and seeing that her words would profit them, she began to teach.

Τὸν μὲν οὖν ἔμπρακτον αὐτῆς καὶ ἀσκητικὸν βίον λέγειν 15
the indeed then active her and ascetic life to-tell
ἀδυνατοῦμεν, ἐπείπερ οὐδὲ συνεχώρει τινὰ τούτου θεατὴν
we-are-unable since not-even she-allowed anyone of-this (a)-spectator
γενέσθαι. Οὐδὲ γὰρ κήρυκας τῶν αὐτῆς ἀνδραγαθημάτων
to-become not-even for heralds of-the her brave-deeds
ἤθελεν εἶναι τοὺς παρόντας. Οὐχ οὕτως γὰρ τὸ εὖ
she-wished to-be the(-ones) present not so for the well
πράττειν ἐφρόντιζεν, ὅσον τῆς τούτου φυλακῆς τε
doing she-cared-for as-much-as for-the of-this guarding both
καὶ κρυβῆς. Τοῦτο δὲ ἐποίει οὐ φθόνῳ συνεχομένη, ἀλλὰ
and hiding this and she-did not by-envy held but
θείᾳ χάριτι συγκροτουμένη. Τὸ γὰρ Κυριακὸν ἐκεῖνο
by-divine grace being-welded the for Lord's that
κατὰ νοῦν ἔφερε ῥῆμα, τὸ λέγον, ὡς Εἴ τι ἐὰν ποιῇ
in mind she-bore saying the(-one) saying that if anything — does
ἡ δεξιά σου, μὴ γνώτω ἡ ἀριστερά σου. Οὕτως μὲν
the right(-hand) your not let-know the left your thus indeed
λανθάνουσα ἐξετέλει τὰ πρέποντα τῷ ἐπαγγέλματι.
escaping-notice she-accomplished the(-things) fitting to-the profession
Ἀπὸ δὲ τῆς πρώτης ἡλικίας, καὶ ἕως τῆς ἀκμαστικῆς, οὐ 16
from and the first age and until the prime not
μόνον παντὸς ἀνδρὸς συντυχίαν ἀπέφευγεν ἀλλὰ καὶ τὰς
only of-every man (the)-meeting she-fled but also the(-women)

ὁμοφύλους τὰ πολλὰ παρῃτεῖτο, δύο τούτων ἕνεκα, ἢ
of-the-same-kind for-the most-part she-declined two these for-the-sake-of either
τοῦ μὴ δοξασθῆναι τῇ ὑπερβολῇ τῆς ἀσκήσεως, ἢ τοῦ
of-the not to-be-glorified by-the excess of-the asceticism or of-the
μὴ ὑποσυρῆναι τῆς ἀρετῆς διὰ τὴν σωματικὴν χρείαν.
not to-be-drawn-down from-the virtue through the bodily need
17 Οὕτως μὲν οὖν τὰς πρώτας τῆς ψυχῆς ἐπιβολὰς
thus indeed then the first of-the soul impulses
παρετήρει, μὴ συγχωροῦσα αὐταῖς συγκαθέλκεσθαι ταῖς
she-watched not allowing them to-be-dragged-down-with with-the
σωματικαῖς ἐπιθυμίαις· ὥσπερ δὲ δένδρον καθυλομανοῦν
bodily desires as but (a)-tree running-to-wood
περιετέμνετο τῶν ἀκάρπων κλάδων τὰ βλαστήματα· τὰς
she-pruned of-the fruitless branches the shoots the
μὲν γὰρ ἀκανθώδεις τῆς διανοίας ἐκφύσεις ἀφῃρεῖτο
indeed for thorny of-the mind growths she-removed
διά τε τῆς νηστείας καὶ τῆς προσευχῆς. Καὶ εἰ βραχύ
through both the fasting and the prayer and if (a)-little
τι ἕκαστον τούτων προέκοπτε, ποικίλας αὐτοῖς τὰς
some each of-these advanced various on-them the
τιμωρίας προσέφερε, διὰ παντοδαπῶν πόνων τὸ σῶμα
punishments she-brought through all-kinds-of labors the body
κακουχοῦσα. Οὐ μόνον γὰρ τῇ τοῦ ἄρτου λιμαγχονίᾳ
maltreating not only for with-the of-the bread starvation
ἠρκεῖτο, ἀλλά γε καὶ τῇ τοῦ ὕδατος ὀλιγοδεΐᾳ.
she-was-content but at-least also with-the of-the water scantiness
18 Ὁπηνίκα μὲν πόλεμος τοῦ ἐχθροῦ πρὸς αὐτὴν συνεκροτεῖτο,
whenever indeed (a)-war of-the enemy against her was-joined
προηγουμένως μὲν τὸν ἑαυτῆς Δεσπότην δι᾽ εὐχῆς ἐκάλει
first indeed the her-own Master through prayer she-called
πρὸς συμμαχίαν· οὐ γὰρ ἠρκεῖτο τὴν ὁρμὴν τοῦ λέοντος
to (her)-alliance not for she-was-content the onset of-the lion

σβέσαι ψιλῇ ἀσκήσει. Καὶ παρὰ μὲν τῆς ἱκεσίας παρῆν
to-quench with-bare asceticism and at indeed the supplication was-present
ὁ Κύριος, καὶ ἀπεδίδρασκεν ὁ πολέμιος· πολλάκις δὲ καὶ
the Lord and ran-away the foe often but also
ἐχρόνιζε πρὸς τὴν μάχην ὁ ἐχθρὸς, καὶ ὁ Κύριος οὐκ
lingered for the battle the enemy and the Lord not
ἠμύνετο τὸν παλαμναῖον, αὐτῷ τούτῳ τῆς ἐναρέτου ψυχῆς
repulsed the murderer by-very this of-the virtuous soul
εἰσαύξων τὴν γυμνασίαν. Αὕτη δὲ ὥσπερ προσθήκῃ τῶν
increasing the exercise she but as by-(an)-addition of-the
δώρων, ἐπὶ πλεῖον ἐκρατύνετο εἰς τὴν κατὰ τοῦ ἐχθροῦ
gifts to more was-strengthened toward the against the enemy
νίκην. Οὐ μόνον γὰρ ἠρκεῖτο ταῖς ὀλιγοδεΐαις τῶν
victory not only for she-was-content with-the scantiness of-the
τροφῶν ἑαυτὴν νεκροῦσα, ἀλλά γε καὶ τῶν καθ' ἡδονὴν διαιτημάτων ἐπειρᾶτο εἴργειν ἑαυτήν. Ἄρτον μὲν γὰρ
foods herself mortifying but at-least also from-the according-to pleasure diets she-tried to-shut-off herself bread indeed for
πιτυρίαν ἤσθιεν· ὕδωρ δὲ πολλάκις οὐδόλως ἐλάμβανε· καὶ
of-bran she-ate water but often not-at-all she-took and
ἐχαμεύνει δὲ ἕως τινός. Ἕως μὲν οὖν συνεκροτεῖτο
she-slept-on-the-ground too until some(-time) while indeed then was-joined
ὁ πόλεμος, τοιούτοις ὅπλοις ἐκέχρητο· εὐχὴν μὲν ἐνδυομένη
the war with-such weapons she-used prayer indeed putting-on
ἀντὶ ὅπλου καὶ θυρεοῦ ἐνδυομένη· ἡ δὲ περικεφαλαία
instead-of (a)-weapon and (a)-shield putting-on the and helmet
αὐτῆς ἦν ἐκ πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης συγκραθεῖσα.
her was from faith and hope and love blended
Ἡ γὰρ πίστις προηγεῖτο πάντων, ὅλους αὐτῆς τοὺς ἁρμοὺς
the for faith led-the-way of-all all her the joints

συσφίγγουσα. Παρῆν δὲ καὶ ἡ ἐλεημοσύνη, εἰ καὶ μὴ
binding-together was-present and also the almsgiving if even not
ἡ κατ᾽ ἐνέργειαν, ἀλλ᾽ οὖν γε ἡ κατὰ πρόθεσιν.
the(-one) in act but then at-least the(-one) by intention
19 Διὰ τούτων οὖν ἥττων ὑπομένοντος τοῦ ἐχθροῦ, καὶ
through these then defeat suffering the enemy also
αὐτὴ ἐπεκούφιζε τῆς δριμυτάτης ἀσκήσεως. Τοῦτο δὲ
she relaxed from-the harshest asceticism this and
ἐποίει πρὸς τὸ μὴ ἀθρόως διαλυθῆναι τὰ τοῦ σώματος
she-did so-that — not suddenly be-dissolved the of-the body
μέλη· ἥττης γὰρ ἦν τοῦτο τεκμήριον. Τῶν γὰρ ὅπλων
members of-defeat for was this (a)-sign of-the for weapons
συμπεσόντων, ποία ἐλπίς ἐστι τῷ στρατιώτῃ εἰς πόλεμον;
having-collapsed what hope is to-the soldier for war
Τινὲς γοῦν, ἀμέτρως καὶ ἀνεξετάστως τῇ ἀσιτίᾳ ἑαυτοὺς
some at-any-rate immoderately and without-examination by-the fasting themselves
καταδαπανήσαντες, καιρίαν ἑαυτοῖς τὴν πληγὴν ἐπήγαγον·
having-consumed (a)-mortal on-themselves the blow brought
ὥσπερ δὲ ἐν παραιτήσει τοῦ ἀντιπάλου γενόμενοι, ἑαυτοὺς
as but in surrender of-the adversary having-become themselves
κατέφθειραν. Αὕτη δὲ οὐχ οὕτως ἔπραττεν, ἀλλὰ πάντα
destroyed she but not so acted but all(-things)
μετὰ διακρίσεως ἐποίει· καὶ τῷ μὲν ἐχθρῷ σφοδρῶς διά
with discernment did and the indeed enemy vehemently through
τε τῶν εὐχῶν καὶ τῆς ἀσκήσεως ἀπεμάχετο· πρὸς δὲ
both the prayers and the asceticism she-fought-off toward but
τὴν γαλήνην τῆς οἰκείας νηὸς ἐπεμελεῖτο τοῦ σώματος.
the calm of-the own ship took-care-of the body
Καὶ γὰρ οἱ ναυτιλλόμενοι, χειμῶνος καὶ κλύδωνος
and for those sailing (a)-storm and (a)-surge
καταλαβόντος, ἄσιτοι διαμένουσι, πᾶσαν τὴν παρ᾽ ἑαυτῶν
having-overtaken without-food remain all the of themselves

τέχνην τῷ πρὸ ὀφθαλμῶν κινδύνῳ ἀντιτιθέντες· ὁπηνίκα
skill to-the before (their)-eyes danger opposing whenever
δὲ τύχωσι τοῦ ζῆν, τότε τῆς δευτέρας σωτηρίας ποιοῦνται
but they-attain — to-live then of-the second safety they-make
τὴν φροντίδα· καὶ οὐχ ἅπας αὐτῶν ὁ χρόνος πρὸς τὸν
the concern and not all their the time for the
σάλον τῆς θαλάσσης καταναλίσκεται· ὥσπερ δὲ ἀνάπαυλαν
tossing of-the sea is-spent as but (a)-respite
δέχονται τῶν πόνων τὴν βραχυτάτην γαλήνην· καὶ
they-receive from-the labors the briefest calm and
οὐδ' οὕτως ἀμερίμνως διάγουσιν, οὔτε μὴν ὕπνῳ βαθεῖ
not-even so free-of-care they-live nor indeed into-sleep deep
καθέλκονται πεῖραν ἐσχηκότες τῶν ἀπελθόντων, καὶ
they-are-drawn experience having-had of-the(-things) gone-by and
ἔννοιαν λαμβάνοντες τῶν μελλόντων. Εἰ γὰρ καὶ ὁ
thought taking of-the(-things) coming if for even the
χειμὼν ἐκόπασεν, ἀλλ' ἡ θάλασσα οὐ μεμείωται· καὶ εἰ
storm has-abated yet the sea not has-been-lessened and if
παρῆλθε τὸ δεύτερον, ἀλλ' ὅμως τὸ πρῶτον [τρίτον]
has-passed the second yet nevertheless the first third
μένει· εἰ καὶ τὸ γενόμενον κεχώρισται, ἀλλὰ τὸ
remains if even the(-thing) having-happened has-departed yet the(-thing)
ποιοῦν πάρεστιν. Οὕτως οὖν καὶ ἐπὶ τοῦ παρόντος, εἰ
causing is-present so then also in the present(-case) if
καὶ τὸ πνεῦμα τῆς ἐπιθυμίας ἀπήλασται, ἀλλ' ὅμως
even the spirit of-the desire has-been-driven-off yet nevertheless
ὁ ἐξουσιάζων τούτου οὐ μακρὰν τυγχάνει. Ὅθεν
the(-one) having-power-over it not far is whence
δεῖ ἀδιαλείπτως προσεύχεσθαι διὰ τὸ ἀβέβαιον τῆς
one-must without-ceasing pray because-of the uncertainty of-the
θαλάσσης καὶ τὴν ἁλμυρὰν τοῦ ἐχθροῦ κακίαν. Ἡ οὖν
sea and the bitter of-the enemy malice the then

μακαρία, ἀκριβῶς εἰδυῖα τὸ παρὸν ἐν τῷ βίῳ κλυδώνιον,
blessed(-woman) exactly knowing the present in the life surge
καὶ προβλέπουσα τὰς τῶν πνευμάτων ζάλας, ἐπιμελῶς ἦν
and foreseeing the of-the winds squalls carefully was
οἰακίζουσα τὸ ἴδιον σκάφος τῇ εἰς Θεὸν εὐσεβείᾳ· καὶ
steering the own vessel by-the toward God piety and
γὰρ ἀχείμαστον αὐτὸ τῷ σωτηρίῳ λιμένι προσώρμισεν,
for storm-free it to-the saving harbor she-moored
ἄγκυραν ἀσφαλεστάτην τὴν εἰς Θεὸν πίστιν θεμένη.
(an)-anchor most-secure the toward God faith having-set
20 Ἀποστολικὸς μὲν οὖν αὐτῆς ὁ βίος, διὰ πίστεως καὶ
apostolic indeed then her the life through faith and
ἀκτημοσύνης συσφιγγόμενος, ἔτι γε μὴν ἀγάπῃ καὶ
poverty bound-together still at-least indeed with-love and
ταπεινοφροσύνῃ διαλάμπων. Αὕτη τοῦ σωτηρίου λόγου τὴν
humility shining she of-the saving word the
πρᾶξιν ἐξετέλεσεν· Ἐπιβήσῃ γὰρ ἐπὶ ἀσπίδα καὶ βασιλίσκον,
practice accomplished you-will-tread for upon (the)-asp and (the)-basilisk
καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Οἰκείως αὕτη ἤκουσε
and upon all the power of-the enemy fittingly she heard
τό· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγων ἦς
the(-word) well-done servant good and faithful over few(-things) you-were
πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. Τὸ δὲ ῥητὸν, εἰ καὶ ἐπὶ
faithful over many(-things) you I-will-set the but saying if even to
τῶν δωρεῶν ἀνάγεται, ἀλλ᾽ ὅμως ἐνταῦθα νοείσθω,
the gifts is-referred yet nevertheless here let-it-be-understood
ὡς Ὅτι ἐνίκησας τὸν ἔνυλον πόλεμον, καὶ κατὰ τοῦ ἀΰλου
as that you-conquered the material war and against the immaterial
δὲ τρόπαιον πήξεις, ἐμοῦ ὑπερασπίζοντός σου. Γνώτωσαν
and (a)-trophy you-will-fix me shielding you let-them-know
τὸ μέγεθος τῆς πίστεως αἱ ὑπὸ τοῦ θεράποντός μου
the greatness of-the faith the(-ones) by the servant my

Παύλου ῥηθεῖσαι ἀρχαὶ καὶ ἐξουσίαι· νικήσας γὰρ
Paul spoken-of principalities and powers having-conquered for
τὰς ἐναντίας δυνάμεις, προσομιλήσεις καὶ ταῖς κρείττοσιν.
the opposing powers you-will-converse-with also with-the better(-ones)
Οὕτως μὲν οὖν καθ' ἑαυτὴν ἀναχωροῦσα, τῶν ἀγαθῶν 21
thus indeed then by herself withdrawing of-the good
ἔργων τελεσιουργὸς ἐγίνετο. Τοῦ δὲ χρόνου προϊόντος, καὶ
works (a)-perfecter she-became the and time going-on and
τῶν ἀρετῶν αὐτῆς ἀνθουσῶν, ἡ εὐωδία τῶν εὐκλεεστάτων
the virtues her blooming the fragrance of-the most-glorious
αὐτῆς πόνων εἰς πολλοὺς διέβαινεν· Οὐδὲν γὰρ, φησὶ,
her labors to many passed nothing for he-says
κρυπτὸν ὃ οὐ φανερωθήσεται. Οἶδε γὰρ ὁ Θεὸς
hidden which not will-be-made-manifest knows for — God
τοὺς αὐτὸν ἀγαπῶντας καὶ δι' ἑαυτοῦ κηρύττειν πρὸς
those him loving also through himself to-proclaim for
διόρθωσιν τῶν ἀκουόντων. Τότε μὲν οὖν τῇ βουλήσει
(the)-correction of-the(-ones) hearing then indeed then by-the will
τοῦ κρείττονος ἤρξαντό τινες παραβάλλειν, καὶ πρὸς
of-the stronger(-one) began some to-come-near and for
οἰκοδομὴν οἰκείαν τὰς ἐντεύξεις ποιεῖσθαι· καὶ γὰρ διὰ
edification own the conversations to-make and for through
τῶν λόγων τὰ τοῦ βίου αὐτῆς ἐμπορευόμεναι ἐπὶ πλέον
the words the(-things) of-the life her trading-in to more
προσήγγιζον, ὠφελεῖσθαι βουλόμεναι. Κατὰ γὰρ τὴν
they-drew-near to-be-helped wishing according-to for the
συνήθη ἀκολουθίαν ἐπυνθάνοντο αὐτῆς λέγουσαι· Πῶς δεῖ
usual sequence they-asked her saying how must-one
σωθῆναι; ἡ δὲ, στενάξασα βαρὺ, καὶ δακρύων πλῆθος
be-saved she but having-groaned heavily and of-tears (a)-multitude
ἀφεῖσα, εἰς ἑαυτὴν ἐχώρει, καὶ ὥσπερ διὰ τῶν δακρύων
having-let-go into herself withdrew and as through the tears

τὴν ἀπόκρισιν ποιησαμένη, δευτέραν σιωπὴν ἤσκει. Αἱ δὲ,
the answer having-made (a)-second silence practiced they but
συνελθοῦσαι, ἐβιάζοντο λαλεῖν αὐτὴν τὰ μεγαλεῖα τοῦ Θεοῦ·
having-come-together pressed to-speak her the great-things — of-God
καὶ γὰρ ἐθαύμαζον ὑπὸ μόνης τῆς θέας καταπληττόμεναι·
and for they-marveled by alone the sight being-struck
καὶ αὖθις παρεκάλουν αὐτὴν φθέγξασθαι. Ἐπὶ πολὺ δὲ
and again they-urged her to-speak to much and
τῆς μακαρίας ἐκβιαζομένης, μετὰ χρόνον ἱκανὸν, πολλῆς
the blessed(-woman) being-pressed after time sufficient much
ἡσυχίας γενομένης, ταπεινῇ τῇ φωνῇ τὸ γραφικὸν
silence having-come with-(a)-humble the voice the scriptural
ἐκεῖνο ἔφη ῥῆμα τό· Μὴ ἐκβιάζου πένητα· πτωχὸς
that she-said saying the(-one) do-not press (a)-poor(-man) (a)-beggar
γάρ ἐστιν. Αἱ δὲ παροῦσαι ἀσμένως τὸ ῥῆμα δεξάμεναι,
for he-is they but present gladly the saying having-received
ὥσπερ μέλιτος καὶ κηρίου ἀπογευσάμεναι, ἐπὶ πλεῖον τῆς
as of-honey and honeycomb having-tasted to more the
ἐρωτήσεως εἴχοντο· καὶ λοιπὸν διὰ τῶν γραφικῶν αὐτὴν
questioning held and further with the scriptural her
ῥημάτων ἐπεφόρτιζον· ἔλεγον γὰρ πρὸς αὐτὴν, ὡς Δωρεὰν
sayings they-burdened they-said for to her that freely
ἔλαβες, δωρεὰν δός. Καί φησιν· Ὅρα μὴ τὴν κρυψοτάλαντον
you-received freely give and he-says see lest the talent-hider
ἀντὶ τοῦ δούλου ἀποτίσῃς δίκην. Ἡ δὲ πρὸς αὐτοὺς
in-place-of the servant you-pay (the)-penalty she but to them
εἶπεν· Τί οὕτως περὶ ἐμοῦ τῆς ἁμαρτωλοῦ φαντάζεσθε, ὡς
said why so about me the sinner do-you-imagine as
πραττούσης τι ἢ λεγούσης; Κοινὸν ἔχομεν διδάσκαλον
doing something or saying common we-have (a)-teacher
τὸν Κύριον· ἐκ τῆς αὐτῆς πηγῆς ἀρυόμεθα τὰ πνευματικὰ
the Lord from the same spring we-draw the spiritual

νάματα· ἐκ τῶν αὐτῶν δὲ μαζῶν γαλακτοτροφούμεθα, τῆς
streams from the same and breasts we-are-nursed of-the
τε Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης. Αἱ δὲ πρὸς αὐτήν
both Old and the New Testament they but to her
φασιν· Οἴδαμεν καὶ ἡμεῖς, ὅτι μία ἐστὶν ἡμῶν παιδαγωγὸς,
say know also we that one is our tutor
ἡ Γραφὴ, καὶ ὁ αὐτὸς διδάσκαλος· ἀλλ᾽ αὐτῇ ἐπαγρύπνῳ
the Scripture and the same teacher but with-very wakeful
σπουδῇ προέκοψας ταῖς ἀρεταῖς· καὶ δέον τὰς ἐν ἕξει
zeal advanced in-the virtues and it-is-right the(-ones) in (the)-habit
τῶν καλῶν γενομένας, ὡς δυνατωτέρας, ἐπιπράττειν
of-the good(-things) having-come as stronger to-supervise
τοῖς μειρακίοις· καὶ γὰρ ὁ κοινὸς ἡμῶν διδάσκαλος τοῦτο
the youths and for the common our teacher this
παρακελεύεται. Ἡ δὲ μακαρία, ταῦτα ἀκούσασα, ὥσπερ
commands the but blessed(-woman) these-things having-heard like
τὰ ὑποτίτθια βρέφη, ἐκλαυθμύριζεν. Αἱ δὲ συνελθοῦσαι· ἐν
the suckling babes wept they but having-come-together in
δευτέρῳ θέμεναι τὴν ἐρώτησιν, παρεκάλουν αὐτὴν τοῦ
second(-place) having-set the question urged her from-the
κλαυθμοῦ παύσασθαι. Καὶ ὡς ἡσύχασεν, ἐπιπολὺ πάλιν
weeping to-cease and when she-was-quiet long again
ἡσυχία ἐγένετο. Ἤρξαντο δὲ αὖθις παρακαλεῖν αὐτήν. Ἡ
quiet there-was they-began and again to-urge her she
δὲ, σπλαγχνισθεῖσα, καὶ γνοῦσα, ὅτι τὰ λεγόμενα
but having-been-moved-to-pity and having-known that the(-things) said
οὐ νέμει αὐτῇ ἔπαινον, ταῖς δὲ παρούσαις κατασπείρει
not allot to-her praise to-the but present(-women) sow
ὠφέλειαν, ἤρξατο λέγειν πρὸς αὐτὰς οὕτως·
benefit began to-speak to them thus

Her teaching begins with the two commandments, love of God and of neighbor, in which the law is kept. Each must know her own measure and climb from the lesser to the greater. Virgins must keep chastity at its height, guarding the senses through which thieves break in, keeping watch even when shut in at home, wise as serpents against the devil's many snares of fornication, and fighting particular thoughts with particular remedies: picturing the body rotting, and above all mastering the belly.

22 Τεκνία, πάντες καὶ πᾶσαι τὸ σωθῆναι οἴδαμεν, ἀλλὰ
little-children all(-men) and all(-women) the to-be-saved we-know but
διὰ τῆς οἰκείας ἀμελείας τῆς σωτηρίας ἀπολειπόμεθα.
through the own negligence from-the salvation we-fall-short
Δεῖ γὰρ πρῶτον τὰ διὰ τῆς χάριτος τοῦ
it-is-necessary for first the(-things) through the grace of-the
Κυρίου γνωρισθέντα φυλάττειν. Εἰσὶ δὲ ταῦτα· Ἀγαπήσεις
Lord made-known to-keep are and these you-will-love
τὸν Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ
the Lord — God your from whole the soul your and
τὸν πλησίον σου ὡς ἑαυτόν. Ἐκ τούτων ἡ ἀρχὴ τοῦ
the neighbor your as yourself from these the beginning of-the
νόμου φυλάττεται, καὶ ἐν τούτῳ τὸ πλήρωμα τῆς χάριτος
law is-kept and in this the fullness of-the grace
ἐπαναπαύεται. Βραχεῖα μὲν τοῦ λόγου ἡ ἐκφώνησις, ἀλλὰ
rests brief indeed of-the word the utterance but
πολλὴ καὶ ἄπειρος ἡ ἐν τούτῳ τούτου δύναμις. Πάντα γὰρ
much and boundless the in it of-this power all(-things) for
τὰ ψυχωφελῆ ἐκ τούτων ἤρτηνται· καὶ μαρτυρεῖ
the(-things) profitable-to-the-soul from these hang and bears-witness
Παῦλος, λέγων ὡς τέλος νόμου εἶναι τὴν ἀγάπην.
Paul saying that (the)-end of-(the)-law to-be the love
Ὅσα μὲν οὖν οἱ ἄνθρωποι χρήσιμα κατὰ χάριν τοῦ
as-many-things-as indeed then the men useful by grace of-the

Πνεύματος εἴπωσιν, ἐκ τῆς ἀγάπης ἐστὶ, καὶ εἰς αὐτὴν
Spirit say from the love are and into it
τελευτᾷ. Ἡ οὖν σωτηρία αὕτη ἐστὶν, ἡ διπλῆ ἀγάπη.
end the then salvation this is the twofold love
Δεῖ δὲ καὶ τοῦτο προσθεῖναι, ἐξ αὐτῆς πάλιν 23
it-is-necessary and also this to-add from it again
τυγχάνον, τὸ ἑκάστην ἡμῶν ἐπιγινώσκουσαν ὅ ἐστιν
being the(-thing) each of-us recognizing what she-is
τῶν μειζόνων ἐφίεσθαι. Αἱ δὲ ἠπόρουν πρὸς τὸ
the greater(-things) to-aim-at they but were-at-a-loss at the(-thing)
λεχθὲν, καὶ αὖθις ἀντηρώτων. Ἡ δὲ πρὸς αὐτὰς ἔφη· Οὐκ
said and again asked-in-turn she but to them said not
ἀγνοεῖτε τὴν ἐν τῷ Εὐαγγελίῳ παραβολὴν περὶ τῶν
you-are-ignorant-of the in the Gospel parable about the
ρ΄, καὶ ξ΄, καὶ λ΄· ἡ μὲν οὖν ἑκατοντάς ἐστι τὸ
hundred and sixty and thirty the indeed then hundredfold is the
ἡμέτερον ἐπάγγελμα· ἡ δὲ ἑξακοντάς ἐστι τὸ τῶν ἐγκρατῶν
our profession the and sixtyfold is the of-the continent
τάγμα· ἡ δὲ τριακοντὰς τῶν σωφρόνως βιούντων. Καὶ
order the and thirtyfold of-the(-ones) temperately living and
ἀπὸ μὲν τῶν τριάκοντα ἐπὶ τὰ ἑξήκοντα καλὸν μεταβῆναι·
from indeed the thirty to the sixty good to-pass-over
ἀπὸ γὰρ τῶν μικρῶν ἐπὶ τὰ μείζονα καλὸν προκόπτειν·
from for the small(-things) to the greater good to-advance
ἀπὸ δὲ τῶν μειζόνων ἐπὶ τὰ ἐλάττονα κατατρέχειν,
from but the greater to the lesser to-run-down
ἐπικίνδυνον. Ὁ γὰρ ἅπαξ νεύσας ἐπὶ τὰ χείρω, οὐδὲ
dangerous the(-one) for once having-inclined to the worse not-even
ἐν τοῖς ὀλίγοις στῆναι δύναται· ἀλλ᾽ ὥσπερ ἐν βυθῷ τῆς
in the few to-stand is-able but as in (the)-depth of-the
ἀπωλείας φέρεται. Τινὲς γοῦν, παρθενίαν ἐπαγγελλόμεναι,
destruction is-borne some at-any-rate virginity professing

καὶ ἀσθενοῦς γνώμης τὸν λογισμὸν ὑποσυρόμεναι, προφάσεις
and of-weak purpose the reasoning being-drawn-down excuses
ἐν ἁμαρτίαις προφασίζονται. Πρὸς γὰρ ἑαυτὰς λέγουσι,
in sins make-excuses to for themselves they-say
μᾶλλον δὲ πρὸς τὸν διάβολον, ὅτι Ἐὰν μὲν σωφρόνως
rather but to the devil that if indeed temperately
(μᾶλλον δὲ ἀφρόνως) βιώσωμεν, κἂν τοῦ τριακοστοῦ
rather but foolishly we-live even of-the thirtieth
ἀξιούμεθα· καὶ γάρ φησιν, ὡς πᾶσα ἡ Παλαιὰ τῆς
we-are-deemed-worthy and for he-says that all the Old(-Testament) to-the
παιδοποιίας εἶχετο. Γνωστὸν οὖν ἔστω τὴν γνώμην ταύτην
begetting-of-children held known then let-it-be the purpose this
τοῦ ἐχθροῦ εἶναι. Ὁ γὰρ ἐκ τῶν μειζόνων ἐπὶ τὰ
of-the enemy to-be the(-one) for from the greater to the
ἐλάττω ἀγόμενος ὑπὸ τοῦ ἐναντίου βάλλεται· ὥσπερ γὰρ
lesser being-led by the adversary is-struck as for
στρατιώτης φυγὰς, ὁ τοῦτο δρὰς κρίνεται· καὶ οὐχ
(a)-soldier (a)-deserter the(-one) this doing is-judged and not
ὅτι πρὸς τὴν ἐλάττω στρατείαν κεχώρηκε, συγγνώμης
because to the lesser service be-has-gone of-pardon
ἀξιοῦται· ἀλλ' ὅτι ἀπέδρα, τὴν τιμωρίαν λαμβάνει.
is-deemed-worthy but because he-ran-away the punishment receives
Δεῖ οὖν, καθὼς προεῖπον, ἐκ τῶν ἐλαττόνων ἐπὶ
it-is-necessary then as I-said-before from the lesser to
τὰ προσβαίνειν. Καὶ τοῦτο ὁ Ἀπόστολος διδάσκει,
the(-greater) to-step-up and this the Apostle teaches
ὡς Τῶν ὄπισθεν ἐπιλανθανομένους, τοῖς ἔμπροσθεν
that the(-things) behind forgetting to-the(-things) in-front
ἐπεκτείνεσθαι χρή. Δεῖ οὖν τοὺς τὴν ἑκατοντάδα
to-stretch-forward one-must it-is-necessary then those the hundredfold
κρατοῦντας, ταύτην εἰς ἑαυτοὺς ἀνακυκλοῦν, καὶ πέρας
holding this into themselves to-turn-back and limit

μὴ διδόναι τῷ ἀριθμῷ. Φησὶ γὰρ, ὅτι Ἂν ποιήσητε
not to-give to-the number he-says for that if you-do
τὰ προστεταγμένα, εἴπατε, ὅτι Δοῦλοι ἀχρεῖοί ἐσμεν.
the(-things) commanded say that servants unprofitable we-are
Δεῖ οὖν ἡμᾶς τὰς τὸ ἐπάγγελμα τοῦτο 24
it-is-necessary then us the(-women) the profession this
ἐπανῃρημένας, σωφροσύνην τὴν εἰς ἄκρον κατέχειν.
having-taken-up temperance the to (the)-height to-hold
Καὶ γὰρ καὶ παρὰ ταῖς κοσμικαῖς δοκεῖ σωφροσύνη
and for even among the worldly(-women) seems temperance
πολιτεύεσθαι, ἀλλὰ συμπάρεστιν αὐταῖς καὶ ἀφροσύνη, διὰ
to-be-practiced but is-present-with them also folly because-of
τὸ ταῖς ἄλλαις πάσαις αἰσθήσεσιν ἁμαρτάνειν. Καὶ γὰρ
the(-thing) with-the other all senses to-sin and for
ὁρῶσιν ἀπρεπῶς, καὶ γελῶσιν ἀτάκτως. Ἡμεῖς δὲ, μάλιστα
they-look unseemly and laugh disorderly we but most-of-all
καὶ ταῦτα ἀφέμεναι, ἐπαναβῶμεν ταῖς ἀρεταῖς, καὶ ἀπὸ
also these-things having-let-go let-us-go-up to-the virtues and from
τῶν ὀφθαλμῶν ἀφέλωμεν τὴν ματαίαν φαντασίαν. Καὶ γάρ
the eyes let-us-take-away the vain imagination and for
φησιν ἡ Γραφή· Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν· καὶ τὴν
says the Scripture the eyes your right let-them-look and the
γλῶτταν κωλύειν τῶν τοιούτων ἁμαρτημάτων. Ἀθέμιτον
tongue to-check from-the such sins unlawful
γὰρ τὸ τῶν ὕμνων ὄργανον αἰσχρὰ προφέρειν ῥήματα.
for the of-the hymns instrument shameful to-bring-forth words
Οὐ μόνον δὲ λέγειν αὐτὰ παραιτητέον, ἀλλὰ καὶ ἀκούειν.
not only and to-say them must-one-decline but also to-hear
Ταῦτα δὲ ἀδύνατον φυλάττειν, ἐὰν ταῖς προόδοις συνεχῶς 25
these-things but impossible to-keep if the goings-out continually
χρώμεθα. Διὰ γὰρ τῶν αἰσθήσεων ἡμῶν, κἂν μὴ
we-use through for the senses our even-if not

βουλώμεθα, οἱ κλέπται εἰσίασι. Πῶς γὰρ δύναται οἶκος,
we-wish the thieves enter how for can (a)-house
καπνοῦ ἐκ τῶν ἔξωθεν κινηθέντος, καὶ τῶν θυρίδων
smoke from the outside having-been-stirred and the windows
ἀνοιγεισῶν, μὴ μελαίνεσθαι. Ἀναγκαίως οὖν παραιτεῖσθαι
having-been-opened not to-be-blackened necessarily then to-decline
προσήκει τὰς εἰς τὴν ἀγορὰν προελεύσεις. Εἰ γὰρ
it-is-fitting the to the market-place goings-forth if for
ἐπαχθὲς καὶ βαρὺ ἡγούμεθα ἀδελφοὺς καὶ γονεῖς γυμνοὺς
burdensome and heavy we-consider brothers and parents naked
θεάσασθαι, πόσῳ μᾶλλον ἐπιβλαβὲς ἡμῖν ἔσται θεωρῆσαι
to-behold how-much more harmful to-us will-it-be to-look-at
ἐπὶ τῶν πλατειῶν τοὺς ἀπρεπῶς γεγυμνωμένους, ἔτι γε
in the streets those unseemly stripped still at-least
μὴν καὶ ἀκόλαστα ῥήματα λέγοντας; Ἐκ τούτων γὰρ
indeed also licentious words saying from these for
συμβαίνει ἀηδεῖς καὶ λοιμώδεις φαντασίας προσέρχεσθαι.
it-happens unpleasant and pestilent imaginations to-come-upon(-us)
26 Ὁπηνίκα δὲ καὶ εἰς τοὺς οἴκους ἑαυτὰς καθείρξωμεν,
whenever and also into the houses ourselves we-shut
οὐδὲ ἐκεῖ ὀφείλομεν ἔχειν τὸ ἀμέριμνον, ἀλλ'
not-even there we-ought to-have the freedom-from-care but
ἀγρυπνεῖν· γέγραπται γάρ· Γρηγορεῖτε. Ὅσον δὲ ἑαυτὰς
to-keep-awake it-is-written for watch as-much-as and ourselves
ἀσφαλιζόμεθα πρὸς σωφροσύνην, τοσοῦτον δριμυτέροις
we-secure toward temperance so-much with-sharper
συναπτόμεθα λογισμοῖς. Ὁ γὰρ προσθεὶς, φησὶ, γνῶσιν,
we-are-engaged thoughts the(-one) for adding he-says knowledge
προστίθησιν ἄλγημα. Ὅσον γὰρ προκόπτουσιν οἱ ἀθληταὶ,
adds pain as-much-as for advance the athletes
τοσοῦτον μείζοσι συνάπτονται ἀνταγωνισταῖς. Ὅρα πόσον
so-much with-greater they-are-engaged antagonists see how-far

ἀνέπτης, καὶ οὐκ ὀλιγωρήσῃς πρὸς τὰ παρόντα. Τὴν
you-have-flown-up and not make-light of the present(-things) the
ἔνυλον καὶ ἔμπρακτον πορνείαν ἐνίκησας; τὴν διὰ τῶν
material and active fornication did-you-conquer the(-one) through the
αἰσθήσεων ἐχθρός σοι προθήσει. Ὅταν δὲ καὶ ταύτης
senses (the)-enemy for-you will-set-before when but also from-this
σεαυτὴν κωλύσῃς, ἐν τοῖς κατὰ διάνοιαν χωρίοις ἐμφωλεύει,
yourself you-hold-back in the in mind places he-lurks
τὸν ἄϋλόν σοι κινῶν πόλεμον. Πρόσωπα γὰρ εὐπρεπῆ
the immaterial for-you stirring war faces for comely
καὶ ὁμιλίας ἀρχαίας, καὶ ἡσυχαζούσαις παρεισφέρει.
and conversations old and to-you-in-quiet he-brings-in
Δεῖ οὖν μὴ συγκατατίθεσθαι τοῖς φαντάσμασι·
it-is-necessary then not to-assent to-the phantoms
γέγραπται γὰρ, ὡς Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος
it-is-written for that if (the)-spirit of-the(-one) ruling
ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς. Ἡ γὰρ πρὸς
rise-up against you place your do-not leave the for toward
ταῦτα συγκατάθεσις, ἐφάμιλλός ἐστι τῇ κοσμικῇ πορνείᾳ·
these assent equal is to-the worldly fornication
Δυνατοὶ γὰρ, φησὶ, δυνατῶς ἐτασθήσονται. Μέγας οὖν ὁ
mighty(-men) for he-says mightily will-be-tested great then the
πρὸς τὸ πνεῦμα τῆς πορνείας ἀγών. Τὸ γὰρ ἐν κακοῖς
against the spirit of-the fornication contest the for in evils
κεφάλαιον τοῦ ἐχθροῦ πρὸς ἀπώλειαν ψυχῆς, τοῦτό ἐστι.
chief of-the enemy for (the)-destruction of-(the)-soul this is
Καὶ τοῦτο αἰνιττόμενος ὁ μακάριος Ἰὼβ, ἔλεγε πρὸς τὸν
and this hinting-at the blessed Job said to the
διάβολον· Ὁ ἔχων τὴν δύναμιν ἐπ᾽ ὀμφαλοῦ γαστρός.
devil the(-one) having the power at (the)-navel of-(the)-belly

27 Πολλαῖς μὲν οὖν καὶ διαφόροις μηχαναῖς τὸ τῆς
with-many indeed then and various devices the of-the
πορνείας κέντρον κινεῖ ὁ διάβολος κατὰ τῶν φιλοχρίστων
fornication goad moves the devil against the Christ-loving
ἀνθρώπων. Πολλάκις γοῦν καὶ ἀγάπην ἀδελφικὴν
men often at-any-rate also love brotherly
μεθώρμισεν ὁ κακόφρων εἰς τὴν οἰκείαν κακίαν. Καὶ γὰρ
diverted the evil-minded(-one) into the own malice and for
παρθένους φυγούσας γάμον καὶ φαντασίαν πᾶσαν βίου, διὰ
virgins having-fled marriage and imagination all of-life through
σχέσεως ἀδελφικῆς ὑπεσκέλισε· καὶ μοναχοὺς δὲ ἔτρωσε,
(a)-relationship brotherly he-tripped-up and monks too he-wounded
πᾶν ὁτιοῦν ἀποφυγόντας καὶ αὐτοὺς πορνικὸν σχῆμα· ἀλλὰ
every whatever having-fled and themselves fornicating appearance but
καὶ αὐτοὺς ἠπάτησε δι᾽ εὐλαβοῦς ὁμιλίας. Τοῦτο γὰρ τοῦ
also them he-deceived through pious conversation this for of-the
ἐχθροῦ ἔργον, τὸ, ἀμφιεννύμενον τὰ ἀλλότρια,
enemy (is-the)-work the(-thing) clothing-itself-in the(-things) another's
τὰ οἰκεῖα λανθανόντως προβάλλεσθαι. Δείκνυσι σίτου
the(-things) own secretly to-put-forward he-shows of-wheat
κόκκον, καὶ ὑποτίθησιν αὐτῷ παγίδα. Οἶμαι δὲ καὶ τὸν
(a)-grain and sets-under it (a)-snare I-think and also the
Κύριον περὶ τούτου λέγειν, ὡς Ἔρχονται πρὸς ὑμᾶς ἐν
Lord about this to-say that they-come to you in
ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες.
clothing of-sheep within but they-are wolves ravening

28 Τί οὖν πρὸς τοῦτο ποιήσωμεν; Γενώμεθα φρόνιμοι ὡσεὶ
what then against this shall-we-do let-us-become wise as
ὄφεις, καὶ ἀκέραιοι ὡς περιστεραὶ, πανοῦργον κατὰ τῆς
serpents and innocent as doves cunning against the
παγίδος αὐτοῦ κινοῦντες λογισμόν· τὸ μὲν γὰρ, Γίνεσθε
snare his stirring reasoning the(-word) indeed for become

φρόνιμοι ὡσεὶ ὄφεις, εἴρηται πρὸς τὸ μὴ λανθάνειν
wise as serpents has-been-said so-that — not to-escape(-the-notice-of)
ἡμᾶς τὰς ὁρμὰς τοῦ διαβόλου. Τὸ γὰρ ὅμοιον ἐκ
us the onsets of-the devil the(-thing) for like from
τοῦ ὁμοίου ταχίστην ποιεῖται τὴν διάγνωσιν. Τὸ δὲ
the like quickest makes the discernment the(-thing) and
ἀκέραιον τῆς περιστερᾶς δείκνυσι τὸ καθαρὸν τῆς πράξεως.
innocent of-the dove shows the purity of-the act
Πᾶν μὲν οὖν ἀγαθὸν ἔργον ἐν ἀποφυγῇ ἔσται τοῦ
every indeed then good work in (the)-avoidance will-be of-the
χείρονος. Πῶς δὲ φύγωμεν ὃ μὴ οἴδαμεν; Δεῖ οὖν
worse how but shall-we-flee what not we-know it-is-necessary then
ἡμᾶς, κατ᾽ ἔννοιαν λαβούσας τοῦ ἐχθροῦ τὴν δεινότητα,
us into thought having-taken of-the enemy the cleverness
φυλάττεσθαι ἀπὸ τῆς τούτου κακομηχανίας· φησὶ γάρ·
to-guard from the his evil-contriving he-says for
Ὃς περιάγει ζητῶν τίνα καταπίῃ. Καὶ τὰ βρώματα
who goes-about seeking whom he-may-swallow and the foods
αὐτοῦ ἐκλεκτά. Δέον οὖν πάντοτε γρηγορεῖν. Καὶ γὰρ
his choice it-is-right then always to-watch and for
διὰ τῶν ἔξωθεν πραγμάτων πολεμεῖ, καὶ διὰ τῶν
through the outward affairs he-wars and through the
ἔνδον λογισμῶν δαμάζει. Καὶ πλέον διὰ τῶν ἔνδον·
inward thoughts he-subdues and more through the inward(-ones)
καὶ γὰρ νύκτωρ καὶ μεθ᾽ ἡμέραν ἀΰλως προσέρχεται.
and for by-night and by day immaterially he-approaches
Τίνος οὖν χρεία πρὸς τὸν παρόντα πόλεμον; Δῆλον, ὡς 29
of-what then (is-the)-need against the present war (it-is)-clear that
ἀσκήσεως ἐπιπόνου καὶ καθαρᾶς προσευχῆς. Ἀλλὰ ταῦτα
of-asceticism laborious and pure prayer but these-things
μὲν γενικῶς ἐπὶ παντὸς λογισμοῦ ὀλεθρίου ἀλεξητήρια
indeed generally against every thought destructive remedies

πέφυκε· δεῖ δὲ καὶ ἰδικαῖς τισιν ἐννοίαις χρήσασθαι
are it-is-necessary but also particular certain thoughts to-use
πρὸς τὸ τὸν παρόντα τῆς ψυχῆς λοιμὸν ἀπώσασθαι· καὶ
so-that — the present of-the soul plague to-thrust-away and
ἐπελθόντος τοῦ αἰσχίστου λογισμοῦ, ἀνθυποφέρειν αὐτῷ
having-come the most-shameful thought to-oppose to-it
τὰ ἐναντία. Εἰ γὰρ γένοιτο ἐν τοῖς κατὰ διάνοιαν χωρίοις
the opposites if for there-be in the in mind places
ὄψεως εὐπρεποῦς φαντασία, τῷ λόγῳ τὸ παρὸν
of-(a)-face comely (an)-image by-the reason the present(-thing)
τιμωρητέον, καὶ τοῦ εἰδώλου τοὺς ὀφθαλμοὺς ἐκκολαπτέτω,
must-be-punished and of-the phantom the eyes let-it-gouge-out
τῶν δὲ παρειῶν τὰς σάρκας ἐξαιρείτω· ὑποτεμνέτω δὲ καὶ
of-the and cheeks the flesh let-it-take-out let-it-cut-away and also
τὰ χείλη, καὶ λοιπὸν ὁράτω πῆγμα ὀστέων ψιλῶν δυσειδές·
the lips and further let-it-see (a)-structure of-bones bare unsightly
κατανοείτω λοιπὸν τί ἦν τὸ ποθούμενον· οὕτω γὰρ
let-it-consider further what was the(-thing) longed-for thus for
ὁ λογισμὸς ἀναχαιτίσαι δυνηθείη τῆς ματαίας πλάνης.
the reasoning to-rein-back could from-the vain wandering
Τὸ γὰρ φιλούμενον οὐδὲν ἦν ἢ αἷμα σὺν φλέγματι
the(-thing) for loved nothing was than blood with phlegm
μεμιγμένον, ὅπερ καὶ ὑφάσματος χρείαν παρέχει τοῖς ζώοις.
mixed which also of-(a)-garment (the)-use provides to-the animals
Οὕτω μὲν οὖν καὶ διὰ τῶν τοιούτων λογισμῶν εἰκὸς
thus indeed then also through the such thoughts (it-is)-likely
ἀποσοβεῖσθαι τὴν μιαρὰν κακίαν· καὶ καθάπερ ἥλῳ ἧλον
to-be-scared-off the foul malice and just-as by-(a)-nail (a)-nail
ἐκκρούειν προσήκει τὸν δαίμονα. Ἔτι γε μὴν δέον
to-knock-out it-is-fitting the demon still at-least indeed it-is-right
καὶ καθ' ὅλον τοῦ ἐρωμένου τὸ σῶμα ἕλκη βαρύοσμα καὶ
also over whole of-the beloved the body sores foul-smelling and

σηπεδονώδη ὑπογράφειν· καὶ συντόμως φάναι, νεκρῷ
putrid to-sketch and briefly to-say to-(a)-dead(-man)
παραπλήσιον, ἢ καὶ ἑαυτὸν νεκρὸν τοῖς ἔνδον ὀφθαλμοῖς
like or even oneself dead to-the inner eyes
ὑποτιθέναι. Μεῖζον δὲ πάντων ἐστὶ τὸ γαστρὸς ἄρχειν·
to-set-before greater and than-all is the(-thing) of-the-belly to-rule
οὕτω γὰρ καὶ τῶν ὑπογαστρίων ἡδονῶν κρατῆσαι δυνατόν.
thus for also of-the below-the-belly pleasures to-master (it-is)-possible

ON POVERTY

Asked whether poverty is a perfect good, she answers that it is for those able to bear it, after training in fasting and sleeping on the ground; the possessionless turn their whole mind to the Lord, and the enemy can take nothing from them. Love of money is the root of all evils, for which men brave pirates and storms. Good deeds should be hidden and failings told, since praise melts the soul like wax and reproach hardens it; and Scripture's sayings on affliction are revenue for the soul.

Ἦν μὲν οὖν θεῖον συμπόσιον τῶν παρουσῶν· ἐκ 30
it-was indeed then (a)-divine banquet of-the(-women) present from
γὰρ τῶν τῆς σοφίας κρατήρων ηὐφραίνοντο. Ἦν δὲ αὐταῖς
for the of-the wisdom bowls they-were-gladdened was and for-them
οἰνοχοοῦσα τὸ θεῖον πόμα καὶ νᾶμα ἡ μακαρία Συγκλητική.
pouring-out the divine drink and stream the blessed Syncletica
Ἑκάστη δὲ αὐτῶν ἐδέχετο ὅπερ ἐβούλετο, καὶ μία τῶν
each and of-them received what she-wished and one of-the(-women)
συνελθουσῶν ἐπύθετο αὐτῆς λέγουσα· Εἰ τέλειον ἀγαθὸν
having-come-together asked her saying whether (a)-perfect good
ἡ ἀκτημοσύνη; Ἡ δὲ εἶπε· Καὶ πάνυ ἀγαθὸν ταῖς
(is)-the poverty she and said and very good for-the(-women)
δυναμέναις. Αἱ γὰρ ὑπομένουσαι τοῦτο, θλίψιν μὲν
able the(-women) for enduring this affliction indeed

ἔχουσι τῇ σαρκὶ, τῇ δὲ ψυχῇ ἄνεσιν. Ὥσπερ γὰρ
have in-the flesh in-the but soul ease as for
τὰ στερρὰ ἱμάτια πατούμενα καὶ βιαίως περιστρεφόμενα
the stiff garments trodden and violently wrung
πλύνεται καὶ λευκαίνεται, οὕτως καὶ ἡ ἰσχυρὰ ψυχὴ
is-washed and whitened so also the strong soul
διὰ τῆς ἑκουσίου πενίας ἐπὶ πλεῖον κρατύνεται· αἱ
through the voluntary poverty to more is-strengthened the(-women)
δὲ ἀσθενέστερον τὸν λογισμὸν ἔχουσαι τὸ ἐναντίον ταῖς
but weaker the reasoning having the opposite to-the
πρώταις πάσχουσι. Καὶ γὰρ πρὸς ὀλίγον θλιβεῖσαι, ὥσπερ
first(-ones) suffer and for at little having-been-pressed as
τὰ διερρῳγότα ἱμάτια, ἀπόλλυνται, μὴ φέρουσαι τὴν διὰ
the torn garments they-perish not bearing the through
τῆς ἀρετῆς πλύσιν. Καὶ εἷς ὁ τεχνίτης, διάφορον δὲ τῶν
the virtue washing and one (is)-the craftsman different but of-the
ἱματίων τὸ τέλος· τὰ μὲν γὰρ ῥήγνυται καὶ ἀπόλλυται,
garments the end the(-ones) indeed for is-torn and perishes
τὸ δὲ λευκαίνεται καὶ ἀνακαινίζεται. Φαίη οὖν ἄν τις,
the(-other) but is-whitened and renewed would-say then — someone
ἀγαθὸν κειμήλιον τὴν ἀκτημοσύνην τῷ ἀνδρείῳ φρονήματι·
(a)-good treasure (is)-the poverty for-the manly mind
καὶ γὰρ τῶν πρακτικῶν ἁμαρτημάτων χαλινὸς τυγχάνει.
and for of-the active sins (a)-bridle it-is
31 Δεῖ δὲ πρῶτον ἐγγυμνασθῆναι τοῖς πόνοις· λέγω δὲ,
it-is-necessary but first to-be-trained in-the labors I-mean and
νηστείᾳ τε καὶ χαμευνίᾳ, καὶ τοῖς ἄλλοις κατὰ
in-fasting both and sleeping-on-the-ground and in-the other(-things) by
μέρος, καὶ οὕτως ταύτην τὴν ἀρετὴν κτήσασθαι. Οἱ γὰρ
part and so this the virtue to-acquire those for

μὴ οὕτω ποιήσαντες, ἀθρόως δὲ ἐπὶ τὴν ἀποβολὴν τῶν
not so having-done suddenly but to the throwing-away of-the
χρημάτων δραμόντες, ὡς ἐπίπαν μεταμέλῳ ἑάλωσαν.
possessions having-run on-the whole by-regret were-caught
Ὄργανον γὰρ τοῦ ἀπολαυστικοῦ βίου τὰ χρήματα 32
(the)-instrument for of-the pleasure-seeking life the possessions
τυγχάνει. Ἄνελε οὖν πρῶτον τὴν ἑαυτοῦ τέχνην, τουτέστι
are take-away then first the its-own craft that-is
τὴν γαστριμαργίαν καὶ τὸ ἁβροδίαιτον, καὶ οὕτως εὐκόλως
the gluttony and the luxurious-living and so easily
περιτέμνειν τὴν σαυτοῦ δυνήσῃ τῶν χρημάτων ὕλην.
to-cut-off the your-own you-will-be-able of-the possessions matter
Βαρὺ γὰρ οἶμαι, τέχνης παρούσης, ὄργανον μὴ τυγχάνειν.
heavy for I-think (a)-craft being-present (an)-instrument not to-be
Ὁ γὰρ μὴ ἀποβαλὼν τὸ πρῶτον, πῶς τὸ δεύτερον
the(-one) for not having-thrown-away the first how the second
ἐξῶσαι δυνήσεται; Διὰ τοῦτο καὶ ὁ Σωτὴρ, πρὸς τὸν
to-push-out will-he-be-able for this also the Savior to the
πλούσιον διαλεγόμενος, οὐκ ἀθρόως αὐτῷ τὴν ἀποβολὴν τῶν
rich(-man) conversing not suddenly to-him the throwing-away of-the
χρημάτων προστάσσει· ἀλλὰ προερωτᾷ αὐτὸν, εἰ τὰ
possessions commands but asks-first him whether the(-things)
τοῦ νόμου πεποίηκε. Καὶ διδασκάλου γνησίου πρόσωπον
of-the law he-has-done and of-(a)-teacher true (the)-role
ἀναδεξάμενος ὁ Κύριος ἐρωτᾷ· Εἰ τὰ στοιχεῖα ἔμαθες, εἰ
having-taken-up the Lord asks if the letters you-learned if
τὰς συλλαβὰς παρείληφας, καὶ ἁπλῶς εἰ τῶν ὀνομάτων
the syllables you-have-received and simply if of-the words
ἐν ἕξει γέγονας, δεῦρο λοιπὸν καὶ ἐπὶ τὴν τελειοτάτην
in (the)-habit you-have-become come further also to the most-perfect
ἀνάγνωσιν· τουτέστιν· Ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα,
reading that-is go sell your the possessions

καὶ δεῦρο ἀκολούθει μοι. Καὶ τάχα οἶμαι, ὡς εἰ μὴ τὰ
and come follow me and perhaps I-think that if not the(-things)
ἐξετασθέντα ἦν ὑποσχόμενος πεποιηκέναι, οὐκ ἂν αὐτὸν ἐπὶ
examined he-had promised to-have-done not — him to
τὴν ἀκτημοσύνην προετρέψατο. Πῶς γὰρ ἂν ἠδύνατο πρὸς
the poverty he-would-have-urged how for — could-he to
ἀνάγνωσιν ὁρμῆσαι, τὴν τῶν συλλαβῶν ἀγνοῶν δύναμιν;
reading set-out the of-the syllables not-knowing power

33 Καλὴ οὖν ἡ ἀκτημοσύνη τοῖς ἐν ἕξει τῶν καλῶν
good then (is)-the poverty for-those in (the)-habit of-the good(-things)
γεγενημένοις· πάντων γὰρ τῶν περιττῶν τὴν ἀποβολὴν
having-become of-all for the superfluous(-things) the throwing-away
ποιησάμενοι, πρὸς τὸν Κύριον φέρουσι τὸ νεῦμα, τὸ
having-made toward the Lord they-bear the inclination the
θεῖον ἐκεῖνο ᾄδοντες λόγιον καθαρῶς, τὸ λέγον· Οἱ
divine that singing oracle purely the(-one) saying the
ὀφθαλμοὶ ἡμῶν πρὸς σὲ ἐλπίζουσι· καὶ σὺ δίδως τὴν
eyes our toward you hope and you give the
τροφὴν τοῖς ἀγαπῶσί σε ἐν εὐκαιρίᾳ.
food to-those loving you in good-season

34 Ἄλλως τε πάλιν μεγάλην ὠφέλειαν εἰσπράττονται· μὴ
otherwise and again great benefit they-exact not
ἔχοντες γὰρ τὸν νοῦν πρὸς τὸν ἐν γῇ θησαυρὸν, τὴν
having for the mind toward the on earth treasure the
οὐρανῶν βασιλείαν ἀμφιέννυνται· καὶ τὸ ὑπὸ τοῦ ὑμνῳδοῦ
of-heavens kingdom they-put-on and the by the hymn-singer
Δαβὶδ ῥῆμα ἐκτελοῦσι σαφῶς, τὸ λέγον· Κτηνώδης
David saying they-fulfill clearly the(-one) saying like-a-beast
ἐγενήθην παρὰ σοί. Ὥσπερ γὰρ τὰ ὑποζύγια, τὴν ἰδίαν
I-became before you as for the beasts-of-burden the own
ἐργασίαν ποιούμενα, ταῖς πρὸς τὸ ζῆν τροφαῖς μόναις
work doing with-the for the to-live foods alone

ἀρκοῦνται· οὕτω καὶ οἱ τῆς ἀκτημοσύνης ἐργάται, τὴν μὲν
are-content so also the of-the poverty workers the indeed
τοῦ ἀργυρίου χρῆσιν ὡς μηδὲν οὖσαν λογίζονται, πρὸς μόνην
of-the silver use as nothing being reckon for only
δὲ τὴν ἐφήμερον τροφὴν τὴν διὰ τοῦ σώματος ἐργασίαν
but the daily food the through the body work
ποιοῦνται. Οὗτοι τῆς πίστεως τὴν κρηπῖδα κατέχουσι· πρὸς
they-do these of-the faith the foundation hold to
αὐτοὺς γὰρ εἴρηται παρὰ τοῦ Κυρίου τὸ μὴ μεριμνᾶν
them for it-has-been-said by the Lord the(-word) not to-be-anxious
περὶ τῆς αὔριον· καὶ ὅτι, Τὰ πετεινὰ τοῦ οὐρανοῦ οὐ
about the morrow and that the birds of-the heaven not
σπείρει, οὐδὲ θερίζει, καὶ ὁ Πατὴρ ὁ οὐράνιος τρέφει αὐτά.
sow nor reap and the Father the heavenly feeds them
Τούτοις τοῖς λόγοις ἐθάῤῥησαν (Θεὸς γὰρ ὁ λαλήσας),
in-these the words they-took-courage God for the(-one) having-spoken
πεπαῤῥησιασμένως τὸ γραφικὸν ἐκεῖνο φθέγγονται ῥῆμα,
boldly the scriptural that they-utter saying
τὸ λέγον· Ἐπίστευσα, διʼ ὃ ἐλάλησα.
the(-one) saying I-believed through which I-spoke
Καὶ ὁ ἐχθρὸς δὲ ἐπὶ τῶν ἀκτημόνων πλέον ἡττᾶται· 35
and the enemy and in-the-case-of the possessionless more is-defeated
τί γὰρ βλάψῃ, οὐκ ἔχει. Αἱ γὰρ πλεῖσται τῶν λυπῶν
what for may-be-harm not he-has the(-things) for most of-the griefs
καὶ τῶν πειρασμῶν ἐν ταῖς ἀφαιρέσεσι τῶν χρημάτων
and of-the trials in the takings-away of-the possessions
γίνονται. Τί γὰρ ἔχει ποιῆσαι τοῖς ἀκτήμοσιν; οὐκ ἔχει.
happen what for has-be to-do to-the possessionless not be-has
Χωρία ἐμπρῆσαι; οὐ πάρεστιν. Ὑποζύγια φθεῖραι; ἀλλʼ οὐδὲ
estates to-burn not it-is-possible beasts-of-burden to-destroy but not-even
ταῦτα ἔχουσι. Φιλτάτοις ἅψασθαι; ἀλλὰ καὶ τούτοις μακρὰν
these they-have dearest(-ones) to-touch but also to-these (a)-long

χαίρειν εἶπον. Οὐκοῦν μεγίστη κατὰ τοῦ ἐχθροῦ τιμωρία
farewell they-said therefore greatest against the enemy vengeance
καὶ πολύτιμος τῇ ψυχῇ θησαυρὸς ἡ ἀκτημοσύνη.
and very-precious for-the soul treasure (is)-the poverty
36 Ὅσον μὲν οὖν αὕτη θαυμαστὴ καὶ ὑπέρογκος εἰς
as-much-as indeed then this(-one) wonderful and exceeding toward
ἀρετὴν, τοσοῦτον εἰς κακίαν φαύλη καὶ μοχθηρὰ ἡ
virtue so-much toward vice bad and wicked (is)-the
φιλαργυρία· καὶ ἀληθῶς ὁ θεσπέσιος Παῦλος περὶ ταύτης
love-of-money and truly the divine Paul about this
εἴρηκεν· ὡς πάντων αὐτὴν τῶν κακῶν αἰτίαν εἶναι.
said that of-all it of-the evils (the)-cause to-be
Ἐπιθυμία γὰρ τοῦ πλούτου, ἐπιορκία, κλοπὴ, ἁρπαγὴ,
desire for of-the wealth perjury theft robbery
πορνεία, φθόνος, μισαδελφία, πόλεμος, εἰδωλολατρεία,
fornication envy hatred-of-brothers war idolatry
πλεονεξία, καὶ αἱ παραφυάδες τούτων, ὑπόκρισις, κολακεία,
greed and the offshoots of-these hypocrisy flattery
κατάγελως· πάντων οὖν τούτων αἰτία ὡμολόγηται ἡ
mockery of-all then these (the)-cause is-acknowledged-to-be the
φιλαργυρία. Ὅθεν δικαίως αὐτὴν πάντων τῶν κακῶν
love-of-money whence justly it of-all the evils
μητέρα ὁ Ἀπόστολος ὠνόμασεν. Οὐ μόνον δὲ ὁ Θεὸς
mother the Apostle named not only and — God
τούτους τιμωρεῖται· ἀλλά γε καὶ οἴκοθεν ἑαυτοὺς
these punishes but at-least also from-home themselves
καταφθείρουσιν· ἀκόρεστον γὰρ φέροντες τὴν κακίαν,
they-ruin insatiable for bearing the vice
οὐκ ἔχουσι τέλος τοῦ σκοποῦ, ὅθεν ἀνίατος αὐτοῖς ἡ
not they-have (an)-end of-the aim whence incurable for-them (is)-the
πληγή. Ὁ μηδὲν ἔχων ὀλίγων ἐπιθυμεῖ· καὶ τυχὼν
wound the(-one) nothing having few(-things) desires and having-obtained

τούτων, τῶν πλειόνων ὀρέγεται· Ἑκατὸν χρυσίνους ἔχει,
these the more reaches-for (a)-hundred gold-pieces he-has
καὶ γλίχεται τῶν χιλίων· καὶ τούτων εὐπορήσας, πρὸς
and longs-for the thousand and of-these having-got-plenty toward
ἄπειρον φέρει τὸ νεῦμα. Καὶ οὕτω, μὴ ἔχοντες ἑαυτῶν
(the)-boundless bears the inclination and so not having their-own
στῆναι τὸ τέλος, ἀεὶ πενίαν ὀδύρονται. Φέρει δὲ ἡ
to-stand the limit always poverty they-lament brings and the
φιλαργυρία μεθ' ἑαυτῆς ἀεὶ τὸν φθόνον. Φθείρει δὲ καὶ
love-of-money with itself always the envy destroys and also
οὗτος πρῶτον τὸν κτησάμενον. Ὥσπερ γὰρ ἡ ἔχιδνα
this(-one) first the(-one) having-acquired(-it) as for the viper
γεννωμένη πρῶτον τὴν ἰδίαν μητέρα φθείρει, πρὶν ἂν
being-born first the own mother destroys before —
ἄλλους ἀδικήσῃ· οὕτω καὶ ὁ φθόνος τὸν κτησάμενον
others it-wrongs so also the envy the(-one) having-acquired(-it)
καταμαραίνει, πρὶν ἂν τοὺς ἐκ γειτόνων διανεμηθῇ.
withers before — on-those from neighbors it-be-spread
Μέγα ἦν χρῆμα, εἰ τοσούτους ἠδυνάμεθα ὑπομένειν 37
(a)-great was thing if so-many we-could endure
πόνους, ζητοῦντες τὸ δόκιμον ἀργύριον, ὅσοις ἀνηκέστοις
labors seeking the approved silver how-many incurable(-ills)
περιπίπτουσιν οἱ τοῦ ματαίου κόσμου θηραταί. Ναυάγια
fall-into the of-the vain world hunters shipwrecks
ὑπομένουσι, πειρατηρίοις προσομιλοῦσι, λῃσταῖς κατὰ
they-undergo with-pirates they-consort among-robbers on
γῆς περιπίπτουσιν· ἀνέχονται λοιπὸν ζάλης καὶ πνευμάτων
land they-fall they-endure further squall and winds
βιαίων· καὶ πολλάκις κερδαίνοντες, πένητας ἑαυτοὺς
violent and often making-profit poor themselves
φάσκουσι διὰ τοὺς φθονοῦντας. Ἡμεῖς δὲ οὐδόλως
they-declare because-of the(-ones) envying we but not-at-all

τῶν τοιούτων κινδύνων κατατολμῶμεν ὑπὲρ τοῦ ἀληθινοῦ
of-the such dangers dare for the true
κέρδους. Εἰ δέ ποτε καὶ μικροῦ τινος εὐπορήσωμεν,
gain if but ever even of-little some we-have-plenty
μεγαλύνομεν ἑαυτὰς, ἐπιδεικνύμεναι τοῖς ἀνθρώποις· καὶ
we-magnify ourselves displaying(-it) to-the men and
πολλάκις οὐδὲ τὸ γιγνόμενον προφέρομεν εἰς διήγησιν·
often not-even the(-thing) happening we-bring-forth into (the)-telling
εὐθέως δὲ καὶ ὃν δοκοῦμεν σπινθῆρα καλοῦ ἔχειν, ὑπὸ
at-once and also which we-think spark of-good to-have by
τοῦ ἐχθροῦ κλεπτόμεθα. Κἀκεῖνοι δὲ, πολλὰ κερδαίνοντες,
the enemy we-are-robbed-of and-they but much making-profit
τῶν πλειόνων ἐφίενται· καὶ τὰ μὲν παρόντα ὡς οὐδὲν
the more aim-at and the indeed present(-things) as nothing
ἡγοῦνται, πρὸς δὲ τὰ μὴ παρόντα ἀποτείνονται. Ἡμεῖς
they-consider toward but the(-things) not present they-stretch we
δὲ, καὶ μηδὲν ἔχουσαι τῶν ζητουμένων, οὐδὲν θέλομεν
but even nothing having of-the(-things) sought nothing we-wish
κτήσασθαι· καὶ πενίαν ἐσχάτην νοσοῦσαι, πλουσίας ἑαυτὰς
to-acquire and poverty utmost being-sick-with rich ourselves
ἀναγορεύομεν. Καλὸν οὖν τὸν εὖ πράττοντα μηδενὶ
we-proclaim good(-it-is) then the(-one) well doing to-no-one
ἀναγγέλλειν· μᾶλλον γὰρ οἱ τοιοῦτοι ζημιωθήσονται· καὶ
to-announce(-it) more for the such will-be-penalized and
γὰρ ὃ δοκοῦσιν ἔχειν ἀρθήσεται ἀπ᾽ αὐτῶν.
for what they-seem to-have will-be-taken from them

38 Πᾶσαν οὖν σπουδὴν δέον θέσθαι ὑπὲρ τὸ λανθάνειν
all then zeal it-is-right to-set for the to-escape-notice
τὸ κέρδος. Οἱ δὲ τὰ ἑαυτῶν κατορθώματα διηγούμενοι
the gain those but the their-own achievements recounting
πειράσθωσαν καὶ τὰ σὺν αὐτοῖς ἐλαττώματα λέγειν·
let-them-try also the with them failings to-tell

εἰ δὲ ταῦτα κρύπτουσιν, ἕνεκεν τοῦ μὴ παρὰ τῶν
if but these they-hide for-the-sake-of the not by the(-ones)
ἀκουόντων ψεχθῆναι, πολὺ μᾶλλον ἐκεῖνα φυλακτέον,
hearing to-be-blamed much more those(-things) must-be-guarded-against
ὡς ἐκ τοῦ Θεοῦ ἀλλοτριοῦντα. Καὶ γοῦν οἱ κατ᾽
as from — God estranging and at-any-rate those according-to
ἀρετὴν βιοῦντες τὸ ἀνάπαλιν ποιοῦσι, καὶ τὰ σμικρὰ
virtue living the opposite do and the small
ἑαυτῶν πταίσματα μετὰ καὶ προσθήκης ὧν οὐκ ἔπραξαν,
their-own stumbles with even (an)-addition of-what not they-did
ἐκδιηγοῦνται, τὴν δόξαν τῶν ἀνθρώπων ἀποβάλλοντες·
they-recount the glory of-the men throwing-away
τὰ μέντοι ἀγαθὰ κρύπτοντες, πρὸς ἀσφάλειαν τῆς
the(-things) however good hiding for (the)-safety of-the
ψυχῆς. Ὥσπερ γὰρ θησαυρὸς φανερωθεὶς σπανίζεται, οὕτω
soul as for (a)-treasure made-known becomes-scarce so
καὶ ἀρετὴ γνωριζομένη καὶ δημοσιευομένη ἀφανίζεται·
also virtue being-made-known and being-made-public vanishes
ὥσπερ γὰρ κηρὸς λύεται ἀπὸ προσώπου πυρὸς, οὕτω καὶ
as for wax melts from (the)-face of-fire so also
ψυχὴ ἀπὸ ἐπαίνων διαχεῖται καὶ ἀποβάλλει τὸν τόνον.
(a)-soul from praises is-dissolved and throws-away the tension
Καὶ τὸ ἐναντίον δὲ τούτων πάλιν ἔσται· εἰ γὰρ ἡ 39
and the opposite and of-these again will-be if for the
θερμότης ἔλυσε τὸν κηρὸν, ἡ ψύξις ἄρα τὴν πῆξιν αὐτοῦ
heat melted the wax the cold then the hardening its
ποιήσεται· καὶ εἰ ἔπαινος ἀφαιρεῖται τοῦ τόνου τὴν
will-make and if praise takes-away from-the tension the
ψυχὴν, πάντως ὀνειδισμὸς καὶ ὕβρις εἰς μέγεθος αὐτὴν
soul surely reproach and insult to greatness her
τῆς ἀρετῆς ἄγει· Χαίρετε γὰρ, φησὶ, καὶ ἀγαλλιᾶσθε,
of-the virtue leads rejoice for he-says and exult

ὅτ᾽ ἂν πᾶν ψεῦδος εἴπωσι καθ᾽ ὑμῶν οἱ ἄνθρωποι. Καὶ
when — every falsehood they-say against you the men and
ἀλλαχοῦ φησιν· Ἐν θλίψει ἐπλάτυνάς με. Καὶ πάλιν·
elsewhere he-says in affliction you-enlarged me and again
Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν.
reproach expected the soul my and misery
Καὶ ἄλλα δὲ μυρία ἀγαθὰ τοιαῦτα ἐκ τῶν ἁγίων
and other too countless good(-things) such from the holy
Γραφῶν ἐστι τῇ ψυχῇ προσοδευόμενα θεάσασθαι.
Scriptures it-is for-the soul brought-in-as-revenue to-behold

ON GRIEF AND WATCHFULNESS

There is a profitable grief, for one's own sins and a neighbor's ignorance, and a destructive one the enemy sows. No one in this life is free of care: women in the world toil in childbearing. Her words are only for those who choose the solitary life. The enemies attack from without and within, as a ship is sunk by outer waves or by the bilge-water rising in a calm, and they pull down the soul like a house through its foundation, roof, or windows. Life is a sea partly rocky and partly calm; let the one who stands take heed lest she fall, and keep awake against the roaring lion.

40 Ἔστι λύπη ἐπωφελὴς, καὶ ἔστι λύπη φθοροποιός. Τῆς
there-is grief profitable and there-is grief destructive of-the
μὲν οὖν χρησίμης λύπης τὸ μέν ἐστι περὶ τῶν
indeed then useful grief the(-one) indeed is about the
οἰκείων ἁμαρτιῶν στένειν· τὸ δὲ καὶ περὶ τῆς τῶν
own sins to-groan the(-other) and also about the of-the
πλησίον ἀγνωσίας· τὸ δὲ πρὸς τὸ μὴ ἐκπεσεῖν τῆς
neighbors ignorance the(-other) and so-that — not to-fall-away from-the
προθέσεως· τὸ δὲ καὶ ἀφικνεῖσθαι τοῦ τέλους τῆς
purpose the(-other) and also to-arrive-at the end of-the

ἀγαθωσύνης. Ταῦτα μὲν οὖν τῆς γνησίας καὶ ἀγαθῆς
goodness these indeed then of-the genuine and good
λύπης τὰ εἴδη. Καὶ ἄλλη δέ τις λύπη, τοῦ ἐχθροῦ
grief the kinds and other but some grief the enemy
ὑποτιθεμένου, ἥτις ταύταις προσφύεσθαι οἶδεν. Ἐμβάλλει
suggesting which to-these to-grow-on knows he-throws-in
γὰρ καὶ αὐτὸς λύπην ἀλογίας μεστήν· ἥπερ καὶ ἀκηδία
for also he grief of-unreason full which also listlessness
πρός τινων ὠνόμασται. Δεῖ οὖν τοῦτο τὸ πνεῦμα
by some has-been-named it-is-necessary then this the spirit
εὐχῇ μάλιστα ἀποσοβεῖν καὶ ψαλμῳδίᾳ.
by-prayer most-of-all to-scare-off and by-psalmody
Τῶν οὖν ἀγαθῶν μεριμνῶν ἐχομένας ἡμᾶς, οὐ χρὴ οἴεσθαί 41
the then good cares holding us not it-is-right to-think
τινα ἐν τῷ βίῳ ἀφρόντιδα εἶναι. Φησὶ γὰρ ἡ Γραφή·
anyone in the life free-from-anxiety to-be says for the Scripture
Πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην. Ἐν ἑνὶ
every head to labor and every heart to grief in one
λόγῳ τὸ ἅγιον Πνεῦμα συνέγραψε τόν τε μονήρη βίον καὶ
word the holy Spirit described the both solitary life and
τὸν κοσμικόν. Διὰ μὲν γὰρ τοῦ πόνου τῆς κεφαλῆς, τὸν
the worldly(-one) through indeed for the labor of-the head the
μονήρη αἰνίττεται τρόπον· κεφαλὴ γὰρ τὸ ἡγεμονεῦον·
solitary hints-at way (the)-head for (is)-the ruling(-part)
Τοῦ γὰρ σοφοῦ, φησὶν, οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ.
of-the for wise he-says the eyes in the head his
Τὸ οὖν διορατικὸν, ὡς οἶμαι, ἐν αὐτῇ τυγχάνει. Τὸν
the then discerning(-faculty) as I-think in it is the
δὲ πόνον εἶπε, διότι πᾶσα ἀρετῆς βλάστη ἐκ πόνων
and labor he-said because every of-virtue shoot from labors
κατορθοῦται. Διὰ δὲ τῆς ἐν τῇ καρδίᾳ λύπης, τὸ ἄστατον
is-achieved through and the in the heart grief the unstable

καὶ μοχθηρὸν ἐδήλωσεν ἦθος. Θυμοῦ γὰρ καὶ λύπης
and wicked he-showed character of-anger for and of-grief
οἰκητήριον, τὴν καρδίαν τινὲς ἔφασαν· μὴ δοξαζόμενοι,
(a)-dwelling the heart some said not being-glorified
λυποῦνται· τῶν ἀλλοτρίων ὀρεγόμενοι, τήκονται·
they-grieve the(-things) of-others reaching-for they-waste-away
πενόμενοι, δυσφοροῦσι· πλουτοῦντες, ἐκμαίνονται, διὰ
being-poor they-are-vexed being-rich they-rage because-of
τὴν τῶν παρόντων φυλακὴν μηδὲ ὕπνου τυγχάνοντες.
the of-the present(-things) guarding not-even sleep obtaining
42 Μὴ οὖν ἡμεῖς ὑποσυρῶμεν τῷ φρονήματι, λέγουσαι τοὺς
not then we let-us-be-drawn-down in-the mind saying those
ἐν τῷ κόσμῳ ἀμερίμνους τυγχάνειν. Τάχα γὰρ ὡς πρὸς
in the world free-of-care to-be perhaps for as in
σύγκρισιν μᾶλλον ἡμῶν κοπιῶσι. Ταῖς δὲ γυναιξὶν ὡς
comparison more than-us they-toil for-the and women on-the
ἐπίπαν μεγάλη ἐν τῷ κόσμῳ ἡ ἀπέχθεια· τίκτουσι
whole great in the world (is)-the hatred they-bear(-children)
γὰρ χαλεπῶς καὶ ἐπικινδύνως, καὶ τληπαθοῦσι πρὸς τὴν
for painfully and dangerously and they-suffer-hardship toward the
γαλακτοτροφίαν, καὶ νοσοῦσι τοῖς παιδίοις συννοσοῦσι·
nursing and sick with-the children they-are-sick-with
καὶ ταῦτα ὑπομένουσι, τέλος τοῦ κόπου μὴ ἔχουσαι. Ἢ
and these-things they-endure (an)-end of-the toil not having either
γὰρ τὸ σῶμα πηροῦται τὰ κυηθέντα, ἢ κακοφροσύνῃ
for the body is-maimed the(-ones) conceived or in-folly
ἀναχθέντα δολοφονεῖ τοὺς γεννήσαντας. Ταῦτα οὖν
brought-up they-murder the(-ones) having-begotten(-them) these-things then
εἰδυῖαι, μὴ δελεασθῶμεν ὑπὸ τοῦ ἐχθροῦ, ὡς ἀνέτου καὶ
knowing not let-us-be-lured by the enemy as easy and
ἀμερίμνου τυγχάνοντος τοῦ βίου. Γεννῶσαι μὲν γὰρ,
free-of-care being the life bearing(-children) indeed for

διὰ τῶν πόνων φθείρονται· μὴ τίκτουσαι δὲ, ὡς στεῖραι
through the labors they-are-ruined not bearing but as barren
καὶ ἄγονοι ὑπὸ τῶν ὀνειδισμῶν τήκονται.
and childless by the reproaches they-waste-away
Ταῦτα δὲ ὑμῖν λέγω πρὸς τὸ ἀσφαλίζεσθαι ἀπὸ ἐναντίου. 43
these-things and to-you I-say so-that — to-be-secure from (the)-opposite
Οὐ πᾶσι δὲ πέφυκεν ἁρμόδια τὰ λεγόμενα, ἀλλὰ
not for-all but are fitting the(-things) said but
μόνοις τοῖς τὸν μονήρη βίον ἐθέλουσιν. Ὥσπερ γὰρ τοῖς
only for-those the solitary life wishing as for for-the
ζώοις οὐ μία τροφὴ, οὕτως οὐδὲ τοῖς ἀνθρώποις ὁ αὐτὸς
animals not one food so not-even for-the men the same
λόγος συμφέρει· Οὐ δεῖ γὰρ οἶνον νέον βαλεῖν, φησὶν, εἰς
word is-beneficial not one-must for wine new to-put he-says into
ἀσκοὺς παλαιούς. Ἄλλως γὰρ ἑστιῶνται οἱ θεωρίας
wineskins old otherwise for are-feasted those with-contemplation
καὶ γνώσεως ἐμφορούμενοι, ἑτέρως δὲ οἱ ἀσκητικῆς καὶ
and knowledge being-filled differently and those of-ascetic and
πρακτικῆς ἀπογευόμενοι, καὶ πρὸς δύναμιν οἱ κατὰ τὸν
active(-life) tasting and according-to power those in the
κόσμον δικαιοπραγοῦντες. Ὥσπερ γὰρ τῶν ζώων τινὰ μὲν
world doing-justice as for of-the animals some indeed
ἔστι χερσαῖα, τινὰ δὲ ἔνυδρα, τινὰ δὲ πτηνά· οὕτως καὶ
are of-land some and of-water some and winged so also
οἱ ἄνθρωποι οἱ μὲν τὸν μέσον βίον κατέχουσιν, ὡς τὰ
the men some indeed the middle life hold as the
χερσαῖα· οἱ δὲ πρὸς τὰ ὕψη ἐνατενίζουσιν, ὡς τὰ πετεινά·
land(-animals) others and toward the heights gaze as the birds
οἱ δὲ τοῖς ὕδασι τῶν ἁμαρτιῶν εἰσι κεκαλυμμένοι, ὡς οἱ
others and by-the waters of-the sins are covered as the
ἰχθύες· Ἦλθον γὰρ, φησὶν, εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ
fish I-came for he-says into the depths of-the sea and

καταιγὶς κατεπόντισέ με. Καὶ τοιαύτη μὲν ἡ τῶν ζώων
(a)-tempest sank me and such indeed the of-the animals
φύσις· ἡμεῖς δὲ, ὡς ἀετοὶ πτεροφυήσασαι, ἐπὶ τὰ ὑψηλότερα
nature we but as eagles having-grown-wings to the higher(-things)
ἐπιβῶμεν, καὶ καταπατήσωμεν λέοντα καὶ δράκοντα· καὶ
let-us-go-up and let-us-trample (the)-lion and (the)-dragon and
τοῦ ποτε ἄρχοντος νῦν ἄρξωμεν. Τοῦτο δὲ ποιήσομεν, ἐὰν
of-the once ruler now let-us-rule this and we-will-do if
ὅλην ἑαυτῶν τὴν διάνοιαν τῷ Σωτῆρι προσενέγκωμεν.
whole our-own the mind to-the Savior we-offer

44 Ἀλλὰ ὅσον ἡμεῖς κορυφούμεθα πρὸς τὰ ὕψη, κἀκεῖνος
but as-much-as we rise-to-the-top toward the heights he-too
ἐμποδίζειν πειρᾶται διὰ τῶν ἰδίων παγίδων. Καὶ τί
to-hinder tries through the own snares and what
μέγα ἔχειν ἡμᾶς ἀντιπάλους πρὸς τὸ ἀγαθὸν ὁρμώσας,
great(-thing) to-have us adversaries toward the good hastening
ὅπου γε καὶ πρὸς τὰ εὐτελῆ φθονοῦσι; καὶ γοῦν
where at-least even at the paltry(-things) they-envy and at-any-rate
τοὺς ὑπὸ τὴν γῆν τεθαμμένους θησαυροὺς οὐ συγχωροῦσι
the under the earth buried treasures not they-allow
λαμβάνειν ἀνθρώπους. Εἰ οὖν καὶ πρὸς τὴν γηΐνην
to-take men if then even against the earthly
φαντασίαν ἀντίκεινται, πόσῳ μᾶλλον πρὸς τὴν τῶν
fancy they-are-opposed how-much more against the of-the
οὐρανῶν βασιλείαν φθονήσουσιν;
heavens kingdom will-they-envy

45 Δεῖ οὖν κατ' αὐτῶν παντοίως ὁπλίζεσθαι· καὶ γὰρ καὶ
it-is-necessary then against them in-every-way to-arm-oneself and for both
ἔξωθεν εἰσελαύνουσι, καὶ οὐδὲν ἧττον ἐκ τῶν ἔσωθεν
from-outside they-march-in and nothing less from the inward(-things)
κινοῦνται. Καὶ ἡ ψυχὴ, καθάπερ ναῦς, ποτὲ μὲν ὑπὸ
are-stirred and the soul like (a)-ship at-one-time indeed by

τῶν ἔξωθεν τρικυμιῶν καταποντίζεται, ποτὲ δὲ ὑπὸ
the outward waves is-sunk at-another-time but by
τῆς ἔνδοθεν ἀντλίας ὑποβρύχιος γίνεται. Καὶ γοῦν καὶ
the inner bilge-water submerged becomes and at-any-rate also
ἡμεῖς ποτὲ μὲν διὰ τῶν ἐκτὸς πρακτικῶν ἁμαρτημάτων
we at-one-time indeed through the outward active sins
ἀπολλύμεθα, ποτὲ δὲ διὰ τῶν ἔνδον λογισμῶν
perish at-another-time but through the inner thoughts
ἀφανιζόμεθα. Δεῖ οὖν καὶ τὰς ἔξωθεν τῶν πνευμάτων
are-destroyed it-is-necessary then both the outward of-the spirits
ἐπιτηρεῖν προσβολὰς, καὶ τὰς ἔνδον τῶν λογισμῶν
to-watch-for attacks and the inner of-the thoughts
ἐξαντλεῖν ἀκαθαρσίας, πάντοτε δὲ γρηγορεῖν πρὸς τοὺς
to-bail-out impurities always and to-be-watchful against the
λογισμούς· συνεχῶς γὰρ ἐφίστανται. Ἐπὶ μὲν ταῖς ἔξωθεν
thoughts continually for they-assail at indeed the outward
τρικυμίαις, βοώντων τῶν ναυτῶν, πολλάκις ἡ σωτηρία
waves shouting the sailors often the safety
διὰ τῶν ἐγγυτάτων πλοίων γίνεται· αἱ δὲ ἀντλίαι, καὶ
through the nearest boats comes the but bilge-waters even
κοιμωμένων πολλάκις τῶν πλωτήρων, καὶ ἡσυχαζούσης τῆς
sleeping often the sailors and being-calm the
θαλάσσης, ἐπισυμβαίνουσι, καὶ πολλάκις αὐτοὺς θανατοῦσιν.
sea come-on and often them kill
Δεῖ οὖν ἐπιπονωτέραν ποιεῖσθαι πρὸς τοὺς λογισμοὺς 46
it-is-necessary then more-laborious to-make against the thoughts
τὴν διάνοιαν. Ὁ γὰρ ἐχθρὸς, καθάπερ οἶκον τὴν ψυχὴν
the mind the for enemy like (a)-house the soul
καθελεῖν βουλόμενος, ἢ ἀπὸ τῶν θεμελίων ποιεῖται αὐτῆς
to-pull-down wishing either from the foundations makes its
τὴν πτῶσιν, ἢ ἀπὸ τῆς ὀροφῆς ἀρχόμενος, πᾶσαν αὐτὴν
the fall or from the roof beginning all it

καταφέρει, ἢ καὶ διὰ τῶν θυρίδων εἰσελθὼν, πρῶτον
brings-down or even through the windows having-entered first
τὸν οἰκοδεσπότην δεσμεῖ, καὶ οὕτως χειροῦται τὰ πάντα.
the master-of-the-house binds and so subdues the all(-things)
Θεμέλιος μὲν οὖν ἐστι τὰ καλὰ ἔργα, ὀροφὴ δὲ ἡ
(the)-foundation indeed then is the good works (the)-roof and (is)-the
πίστις, θυρίδες δὲ αἱ αἰσθήσεις. Διὰ πάντων δὲ
faith (the)-windows and (are)-the senses through all and
πολεμεῖ ὁ ἐχθρός. Ὅθεν πολυόφθαλμον δεῖ εἶναι τὸν
wars the enemy whence many-eyed it-is-necessary to-be the(-one)
σωθῆναι βουλόμενον. Οὐκ ἔχομεν ἐνταῦθα τὸ ἀμέριμνον·
to-be-saved wishing not we-have here the freedom-from-care
φησὶ γὰρ ἡ Γραφή· Βλεπέτω ὁ ἑστηκὼς μὴ πέσῃ.
says for the Scripture let-him-look the(-one) standing lest he-fall
47 Ἐν ἀδήλῳ πλέομεν· θάλασσα γὰρ ὁ βίος ἡμῶν ὑπὸ τοῦ
in uncertainty we-sail (a)-sea for the life our by the
ἱεροῦ ψάλτου Δαβὶδ εἴρηται. Ἀλλὰ τῆς θαλάσσης
holy psalmist David has-been-said(-to-be) but of-the sea
τὰ μέν εἰσι πετρώδη, τὰ δὲ καὶ θηρίων πλήρη, τινὰ
the(-parts) indeed are rocky the(-parts) and also of-beasts full some
δὲ καὶ γαληνά. Ἡμεῖς ἐν τῷ γαληνῷ μέρει τῆς θαλάσσης
and also calm we in the calm part of-the sea
δοκοῦμεν πλέειν, οἱ δὲ κοσμικοὶ ἐν κινδυνώδεσι· καὶ
seem to-sail the(-ones) but worldly in dangerous(-parts) and
ἡμεῖς μὲν ἡμέρας πλέομεν ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης
we indeed by-day sail by the sun of-the righteousness
ὁδηγούμενοι, ἐκεῖνοι δὲ ἐν νυκτὶ, ὑπὸ τῆς ἀγνωσίας
being-guided they but in night by the ignorance
φερόμενοι. Ἀλλ' ἐνδέχεται πολλάκις τὸν κοσμικὸν ἐν χειμῶνι
being-borne but it-is-possible often the worldly(-man) in storm
καὶ ἐν σκότει τυγχάνοντα, βοήσαντα καὶ ἀγρυπνήσαντα,
and in darkness being having-cried-out and having-kept-awake

σῶσαι τὸ ἑαυτοῦ σκάφος· ἡμᾶς δὲ ἐν γαλήνῃ, ὑπὸ
to-save the his-own vessel us but in calm through
ἀμελείας βυθισθῆναι, τὸ πηδάλιον τῆς δικαιοσύνης ἀφέντας.
negligence to-be-sunk the rudder of-the righteousness having-let-go
Βλεπέτω οὖν ὁ στήκων μὴ πέσῃ. Ὁ μὲν γὰρ 48
let-him-look then the(-one) standing lest he-fall the(-one) indeed for
πεσὼν μίαν ἔχει φροντίδα, τοῦ ἀναστῆναι· ὁ δὲ
having-fallen one has care of-the to-rise-up the(-one) but
στήκων φυλαττέσθω τοῦ μὴ πεσεῖν. Καὶ γὰρ τὰ
standing let-him-guard-against the not to-fall and for the
παραπτώματα διάφορα· οἱ μὲν γὰρ πεσόντες τοῦ μὲν
falls (are)-different those indeed for having-fallen from-the indeed
στήκειν ἐστέρηνται· κείμενοι δὲ, οὐ πάνυ τι ἐβλάβησαν.
standing have-been-deprived lying but not very at-all were-harmed
Ὁ δὲ ἑστὼς μὴ εὐτελιζέτω τὸν πεπτωκότα, ἀλλ᾽
the(-one) but standing not let-him-despise the(-one) having-fallen but
ἑαυτὸν φοβείσθω, μὴ πεσὼν διαφθαρῇ, καὶ εἰς κατώτερον
himself let-him-fear lest having-fallen he-be-destroyed and into lower
ἀπέλθῃ βόθρον. Εἰκὸς γὰρ, καὶ τῆς κραυγῆς ἡττηθείσης
he-go-away (a)-pit (it-is)-likely for also the cry having-been-overcome
ὑπὸ τοῦ βάθους τοῦ φρέατος, μὴ βοήθειαν αἰτῆσαι. Φησὶ
by the depth of-the well not help to-ask says
γὰρ ὁ δίκαιος· Μὴ καταπιέτω με βυθὸς, μηδὲ συσχέτω
for the righteous(-man) not let-swallow me (the)-deep nor let-shut
ἐπ᾽ ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. Ὁ πρῶτος πεσὼν ἔμεινεν.
over me (the)-well the mouth its the first having-fallen remained
Ὅρα σεαυτὸν, μὴ καταπεσὼν καὶ σὺ θοίνη θηρίων γένῃ.
see-to yourself lest having-fallen-down also you (a)-feast of-beasts become
Ὁ πεσὼν οὐκ ἀσφαλίζεται τὴν θύραν· σὺ δὲ μηδόλως
the(-one) having-fallen not secures the door you but by-no-means
νυστάξῃς· ἀλλ᾽ ἀεὶ τὸ θεῖον ἐκεῖνο μελῴδει ῥητὸν, τὸ
doze but always the divine that sing saying the(-one)

φάσκον· Φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς
saying enlighten the eyes my lest ever I-sleep into
θάνατον. Ἀγρύπνει δὲ διηνεκῶς διὰ τὸν ὠρυόμενον λέοντα.
death keep-awake and continually because-of the roaring lion

ON PRIDE AND HUMILITY

The fallen are saved by turning back, and the one standing must fear both relapse and the enemy's tripping. Pride is the devil's last sword: when the soul has mastered belly, lust and money, he makes it forget its sins and dream of its fasts and of high office. Against it she prescribes David's "I am a worm" and obedience, praise and reproach each in season, and humbling questions to the proud, while the despairing are to be watered like a weak plant. Humility, which the Lord put on, is its cure, hard to acquire and learned through reproaches and blows; a pretended humility shows itself at the first insult.

49 Ταῦτα τὰ ῥήματα συντελεῖ πρὸς τὸ μὴ ὑπεραίρεσθαι.
these the words contribute toward the not to-be-exalted
Ὁ πεσὼν ἐν τῷ ἐπιστρέψαι καὶ στενάξαι σωθήσεται.
the(-one) having-fallen in the turning-back and groaning will-be-saved
Ὅρα σὺ σαυτὴν ἡ στήκουσα. Διπλοῦς γάρ σοι
see-to you yourself the(-one) standing twofold for on-you
ὁ φόβος ἐπίκειται, ἢ τοῦ μὴ ἐπιστρέψαι πρὸς τὰ
the fear lies either of-the not to-turn-back toward the
ἀρχαῖα, δι' ὀλιγωρίας σοι τοῦ ἐχθροῦ προσπεσόντος,
old(-ways) through negligence on-you the enemy having-fallen-upon
ἢ τοῦ μὴ τρέχουσαν σκελισθῆναι. Ὁ γὰρ ἐχθρὸς ἡμῶν
or of-the not running to-be-tripped the for enemy our
διάβολος ἢ ὄπισθεν ἕλκει πρὸς ἑαυτὸν, ὁπηνίκα βραδεῖαν
(the)-devil either from-behind drags toward himself whenever slow
καὶ νωθρὰν τὴν ψυχὴν θεάσηται· ἢ δοκοῦσαν αὐτὴν
and sluggish the soul he-sees or seeming her

σπουδαίαν εἶναι καὶ ἐπίπονον πρὸς ἄσκησιν, ἐπεισέρχεται
zealous to-be and laborious toward asceticism he-slips-in
λεπτῶς καὶ κεκρυμμένως διὰ τῆς ὑπερηφανίας· καὶ
subtly and secretly through the pride and
οὕτως αὐτανδρον τὴν ψυχὴν ἀπόλλυσι. Τοῦτο τὸ ὅπλον
so crew-and-all the soul he-destroys this the weapon
ἔσχατον καὶ κορυφαιότατον πάντων ἐστὶ τῶν κακῶν. Ἐξ
last and most-supreme of-all is of-the evils by
αὐτοῦ ὁ διάβολος καταβέβληται, καὶ δι᾽ αὐτοῦ τοὺς
it the devil has-been-cast-down and through it the
δυνατωτέρους τῶν ἀνθρώπων πειρᾶται καθαιρεῖν. Ὥσπερ
more-powerful of-the men he-tries to-pull-down as
γὰρ οἱ δεινότατοι τῶν πολεμιστῶν, μετὰ τὸ δαπανῆσαι
for the most-skilled of-the warriors after the spending
τὰ λεπτότερα βέλη, τὸ τηνικαῦτα ἔτι ἐπικρατούντων
the lighter missiles — then still prevailing
τῶν μαχητῶν, προβάλλονται τὴν ἰσχυροτέραν πάντων
the fighters bring-out the stronger than-all
μάχαιραν· οὕτως καὶ ὁ διάβολος, μετὰ τὸ πρῶτα αὐτοῦ
sword so also the devil after the first his
ἀποδαπανῆσαι ἄγκιστρα, τότε τῷ τελευταίῳ χρᾶται ξίφει,
having-spent-up hooks then the last uses sword
τῇ ὑπερηφανίᾳ. Τίνες δὲ ἦσαν αὐτοῦ αἱ πρῶται παγίδες;
the pride which and were his the first snares
Δῆλον, ὡς γαστριμαργία, φιληδονία, πορνεία. Ταῦτα
(it-is)-clear that gluttony love-of-pleasure fornication these
γὰρ μάλιστα τὰ πνεύματα ἐπὶ τῶν νεωτερικῶν
for most-of-all the spirits in-the-case-of the youthful
ἡλικιῶν συμβαίνουσιν. Ἐπακολουθεῖ δὲ τούτοις φιλαργυρία,
ages occur follows and these love-of-money
πλεονεξία, καὶ τὰ τούτοις ὅμοια. Ἡ οὖν ἀθλία
greed and the(-things) to-these like the then wretched

ψυχὴ, ὅταν τούτων τῶν παθῶν περιγένηται, ὁπηνίκα
soul when these the passions it-overcomes when
γαστρὸς κρατήσῃ, ὅτε καὶ τὰς ὑπογαστρίους ἡδονὰς
belly it-masters when also the below-the-belly pleasures
ὑπερπηδήσῃ τῇ σεμνότητι, ὅτε ἀργυρίου καταφρονήσῃ·
it-leaps-over by-the gravity when silver it-despises
τότε πανταχόθεν ὁ κακόφρων, ἀπορηθεὶς, ὑποβάλλει τῇ
then on-every-side the evil-minded(-one) being-at-a-loss suggests to-the
ψυχῇ ἄτακτον κίνησιν· μεγεθύνει γὰρ αὐτὴν ἀπρεπῶς κατὰ
soul (a)-disorderly motion he-magnifies for her unseemlily against
τῶν ἀδελφῶν ἐπαίρεσθαι. Βαρὺ καὶ ὀλέθριον τοῦτο τοῦ
the brothers to-be-exalted heavy and destructive this of-the
ἐχθροῦ τὸ δηλητήριον. Πολλοὺς ἀθρόως ἐν τούτῳ σκοτίσας
enemy the poison many all-at-once in this having-darkened
κατέβαλεν. Ὑποβάλλει γὰρ τῇ ψυχῇ ἔννοιαν νόθον
he-cast-down he-suggests for to-the soul (a)-thought bastard
καὶ θανατηφόρον. Κατειληφέναι γὰρ αὐτὸν φαντάζει
and death-bearing to-have-grasped for him he-makes-imagine
τὰ παρὰ τοῖς πολλοῖς ἀγνοούμενα, καὶ ὅτι ἐν
the(-things) among the many unknown and that in
νηστείαις ὑπερβάλλει· καὶ πλῆθος αὐτῷ ἀνδραγαθημάτων
fastings he-excels and (a)-multitude to-him of-brave-deeds
προστίθησι· πάντων δὲ ὧν ἥμαρτεν εἰς λήθην αὐτὸν
he-adds of-all but which he-sinned into forgetfulness him
φέρει, πρὸς τὸ κατὰ τῶν συνόντων ἐπαίρεσθαι. Ὑποκλέπτει
he-brings so-that — against the companions to-be-exalted he-steals-away
γὰρ αὐτοῦ ἐκ τοῦ νοῦ τὰ πλημμελήματα· οὐ πρὸς
for his from the mind the offenses not for
ὠφέλειαν δὲ αὐτοῦ τοῦτο ποιεῖ, ἀλλὰ πρὸς τὸ μὴ δυνηθῆναι
(the)-benefit but his this he-does but so-that — not to-be-able
αὐτὸν εἰπεῖν τὴν ἰατρικὴν ἐκείνην φωνὴν, τὸ, Σοὶ
him to-say the healing that cry the(-one) against-you

μόνῳ ἥμαρτον, ἐλέησόν με. Οὔτε μὴν συγχωρήσει αὐτῷ
alone I-sinned have-mercy-on me nor indeed he-will-allow him
λέγειν· Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.
to-say I-will-confess to-you Lord with whole heart my
Ἀλλ' ὥσπερ αὐτὸς κατὰ διάνοιαν εἶπε τό· Ἀναβήσομαι,
but as he-himself in thought said the(-word) I-will-go-up
καὶ θήσομαι τὸν θρόνον μου· οὕτως καὶ τοῦτον φαντάζει
and I-will-set the throne my so also this(-man) he-makes-imagine
εἰς ἀρχάς τε καὶ πρωτοκαθεδρίας, ἔτι δὲ διδασκαλίας,
to offices both and first-seats still and teachings
καὶ ἰαμάτων ἐκδόσεις. Ἡ οὖν οὕτως ἀπατωμένη ψυχὴ
and of-healings distributions the then thus being-deceived soul
φθείρεται καὶ ἀπόλλυται, δυσιάτῳ ἕλκει πληγεῖσα.
is-corrupted and perishes by-(a)-hard-to-heal wound having-been-struck
Τί οὖν δεῖ ποιεῖν, τῶν τοιούτων λογισμῶν παρόντων; 50
what then must-one do the such thoughts being-present
Ἀδιαλείπτως μελετᾷν τὸ θεῖον ἐκεῖνο λόγιον, ὅπερ ὁ
unceasingly to-meditate-on the divine that(-word) saying which the
μακάριος Δαβὶδ ἐβόα, λέγων τό· Ἐγὼ δέ εἰμι σκώληξ,
blessed David cried saying the(-word) I but am (a)-worm
καὶ οὐκ ἄνθρωπος. Καὶ ἐν ἑτέρῳ φησίν· Ἐγὼ δέ εἰμι
and not (a)-man and in another(-place) he-says I but am
γῆ καὶ σποδός. Ἔτι γε μὴν καὶ τὸ τοῦ Ἡσαΐου
earth and ashes still at-least indeed also the(-word) — of-Isaiah
ἀκουέτω ῥῆμα τὸ λέγον, ὡς Πᾶσα δικαιοσύνη ἀνθρώπου
let-her-hear word the(-one) saying that all righteousness of-man
ὡς ῥάκος ἀποκαθημένης. Καὶ εἰ μὲν ἀναχωρούσῃ καθ'
(is)-as (a)-rag of-(a)-menstruous(-woman) and if indeed to-her-withdrawing by
ἑαυτὴν οἱ λογισμοὶ οὗτοι παρεισέλθωσιν, ἐν κοινοβίῳ
herself the thoughts these steal-in into (a)-common-life
εἰσερχέσθω· ἀναγκαζέσθω δὲ καὶ δεύτερον ἐσθίειν τῆς
let-her-enter let-her-be-compelled and also (a)-second-(time) to-eat of-the

ἡμέρας, εἴ γε δι᾽ ὑπερβολὴν ἀσκήσεως τούτῳ ἑάλω
day if at-least through excess of-asceticism by-this she-was-caught
τῷ πάθει· καὶ παρὰ τῶν συνηλίκων δὲ ἐπιτιμάσθω, καὶ
the passion and by the companions and let-her-be-rebuked and
ὀνειδιζέσθω, καὶ ἐπιτιμάσθω σφοδρῶς, ὡς μηδὲν μέγα
let-her-be-reproached and let-her-be-rebuked vehemently as nothing great
πράττουσα· πᾶσαν δὲ ὑπηρεσίαν ποιείσθω. Προσαγέσθωσαν
doing all and service let-her-do let-there-be-brought
δὲ καὶ βίοι ἁγίων ἐξοχώτατοι εἰς ἐξήγησιν· πειράσθωσαν δὲ
and also lives of-saints most-eminent for exposition let-them-try and
αἱ συνελθοῦσαι ἐπιτείνειν ἑαυτῶν τοὺς πόνους πρὸς
the(-women) having-come-together to-intensify their-own the labors toward
ἄσκησιν τὰς ὀλίγας ἡμέρας, πρὸς τὸ ἐκείνην, θεασαμένην
asceticism the few days so-that — she having-beheld
τὸ μέγεθος τῶν ἀρετῶν, ἐλάττονα καὶ ἑαυτὴν ἡγεῖσθαι.
the greatness of-the virtues lesser also herself to-consider

51 Προηγεῖται δὲ τῆς νόσου ταύτης ἕτερον κακὸν, ἡ
goes-before and the disease this another evil the
παρακοή· ὅθεν διὰ τοῦ ἐναντίου τῆς ὑπακοῆς, δυνατὸν
disobedience whence through the opposite the obedience (it-is)-possible
τὴν σηπεδονώδη νομὴν τῆς ψυχῆς περικαθᾶραι· Ὑπακοὴ
the putrid sore of-the soul to-cleanse obedience
γὰρ, φησὶν, ὑπὲρ θυσίαν.
for he-says (is)-above sacrifice

52 Δεῖ οὖν καθαιρεῖν ὄγκον δόξης ἐν καιρῷ, καὶ ἐπαινεῖν
it-is-necessary then to-pull-down (the)-swelling of-glory in season and to-praise
δὲ πάλιν καὶ θαυμάζειν ἐν καιρῷ. Εἰ γὰρ ἀμελὴς καὶ νωθρὰ
but again and to-admire in season if for negligent and sluggish
εὑρεθῇ ἡ ψυχὴ, ἔτι γε μὴν καὶ ὑποναρκοῦσα εἰς τὴν τοῦ
be-found the soul still at-least indeed also growing-numb toward the of-the
καλοῦ προκοπὴν, ἐπαινεῖν ταύτην προσήκει· καὶ εἰ μικρὸν
good advance to-praise her it-is-fitting and if little

ποιήσει τι χρηστὸν, θαυμάζειν καὶ μεγεθοποιεῖν δέον
she-does some good to-admire and to-magnify it-is-right
αὐτήν. Καὶ τὰ σφοδρὰ καὶ ἀπάνθρωπα πλημμελήματα ὡς
her and the severe and inhuman offenses as
ἐλάχιστα καὶ οὐδαμινὰ λεκτέον· ὁ γὰρ διάβολος, βουλόμενος
least and worthless must-be-called the for devil wishing
πάντα διαστρέφειν, ἐπὶ μὲν τῶν σπουδαίων καὶ
all(-things) to-pervert in-the-case-of indeed the earnest and
ἀσκητικῶν κρύπτειν πειρᾶται τὰ προγεγονότα ἁμαρτήματα
ascetic(-souls) to-hide tries the previous sins
τὴν γὰρ ὑπερηφανίαν αὐξῆσαι βούλεται· ἐπὶ δὲ τῶν
the for pride to-increase he-wishes in-the-case-of but the
νεηλύδων καὶ ἀκροπαγῶν ψυχῶν, πάντα τὰ ἁμαρτήματα
newly-come and half-formed souls all the sins
αὐτῶν πρὸ ὀφθαλμῶν τίθησιν. Ἐμβάλλει γὰρ αὐτῇ ὅτι, Σοὶ
their before (their)-eyes he-sets he-throws-in for to-her that for-you
πορνευσάσῃ ποία ἔσται συγγνώμη; Καὶ τῇ ἄλλῃ φησίν·
having-fornicated what will-there-be pardon and to-the other he-says
Οὕτω σου πλεονεκτησάσης, ἀδύνατόν σε σωτηρίας
thus you having-been-greedy impossible (for)-you salvation
τυχεῖν. Τὰς οὖν οὕτω σαλευομένας ψυχὰς παραμυθητέον
to-obtain the then so tossed souls must-be-comforted
οὕτως· δεῖ γὰρ πρὸς αὐτὰς οὕτω λέγειν· Ῥαὰβ
thus it-is-necessary for to them so to-say Rahab
πόρνη ἦν, ἀλλ' ἐσώθη διὰ πίστεως· Παῦλος διώκτης ἦν,
(a)-harlot was but was-saved through faith Paul (a)-persecutor was
ἀλλὰ σκεῦος ἐκλογῆς γέγονε· Ματθαῖος τελώνης ἦν, ἀλλ'
but (a)-vessel of-election has-become Matthew (a)-tax-collector was but
οὐδεὶς τὴν χάριν τούτου ἀγνοεῖ· καὶ ὁ λῃστὴς ἐσύλα καὶ
no-one the grace of-him is-ignorant-of and the robber plundered and

ἐφόνευεν, ἀλλὰ πρῶτος τὴν θύραν ἀνέῳξε τοῦ παραδείσου.
murdered but first the door opened of-the paradise
Τούτοις οὖν ἐνατενίζουσα, μὴ ἀπογνῷς τῆς σεαυτῆς ψυχῆς.
at-these then gazing do-not despair of-the your-own soul
53 Ἐπεὶ δὲ ταῦτα ταύταις εὑρήσεις ἁρμόδια, δεῖ καὶ
since and these-things to-these you-will-find fitting it-is-necessary also
τῶν τῇ ὑπερηφανίᾳ ἁλισκομένων ποιεῖσθαι αὐτὴν
of-the(-ones) by-the pride being-caught to-make very
τὴν θεραπείαν. Φάσκειν γὰρ δεῖ πρὸς αὐτήν· Τί
the treatment to-say for it-is-necessary to her why
φυσιοῦσαι; Ὡς κρέα μὴ ἐσθίουσα; ἄλλοι οὐδὲ ἰχθὺν ὁρῶσι.
are-you-puffed-up as meat not eating others not-even fish see
Καὶ εἰ οἶνον οὐ πίνεις, σκόπησον, ὡς ἄλλοι οὔτε ἔλαιον
and if wine not you-drink consider how others neither oil
ἐσθίουσιν. Ἕως ὀψὲ νηστεύεις; ἄλλαι δὲ δύο καὶ τρεῖς ἡμέρας
eat until late do-you-fast others but two and three days
συνάπτουσιν ἄσιτοι. Ἀλλ' ὅτι οὐ λούῃ μέγα φρονεῖς;
join without-food but because not you-bathe great(-things) do-you-think
πολλοὶ καὶ διὰ πάθος σωματικὸν οὐδ' ὅλως τούτῳ
many also through suffering bodily not-even at-all this
ἐχρήσαντο. Ἀλλὰ θαυμάζεις σεαυτὴν, ὅτι ἐν χαραδρίῳ
used but do-you-marvel-at yourself because on (a)-pallet
καθεύδεις, καὶ ἐν τριχίνῃ στρωμνῇ; ἄλλαι δὲ χαμευνοῦσι
you-sleep and on (a)-hair mattress others and sleep-on-the-ground
διηνεκῶς. Ἀλλ' εἰ καὶ τοῦτο ποιήσειας, οὐδὲν μέγα· τινὲς
continually but if even this you-should-do nothing great some
γὰρ καὶ λίθους ἑαυταῖς ὑπέβαλον, πρὸς τὸ μὴ καθ'
for even stones under-themselves laid so-that — not according-to
ἡδονὴν τῶν φυσικῶν τυχεῖν· ἄλλοι δὲ καὶ ἐκρέμασαν
pleasure the natural(-needs) to-meet others and also hung
ἑαυτοὺς δι' ὅλης τῆς νυκτός. Ἀλλ' εἰ καὶ ταῦτα πάντα
themselves through whole the night but if even these-things all

ποιήσειας, καὶ τὴν ἀκροτάτην ἄσκησιν ἐπιτελέσειας, μὴ
you-should-do and the utmost asceticism you-should-accomplish do-not
μέγα φρονήσῃς· καὶ γὰρ τὰ δαιμόνια πλείω τῶν σῶν
great(-things) think and for the demons more than-the yours
πεποιήκασι καὶ ποιοῦσιν· οὔτε γὰρ ἐσθίουσιν, οὔτε πίνουσιν,
have-done and do neither for they-eat nor drink
οὔτε γαμοῦσιν, οὔτε ὑπνοῦσιν· ἀλλὰ καὶ ἐν ἐρήμῳ διάγουσιν,
nor marry nor sleep but even in (the)-desert they-live
εἴ γε καὶ ἐν σπηλαίῳ οἰκοῦσα δοκεῖς μέγα τι ποιεῖν.
if at-least also in (a)-cave dwelling you-think great something to-do
Οὕτω μὲν οὖν, καὶ ἐκ τοιούτων λογισμῶν, δυνατὸν 54
thus indeed then also from such thoughts (it-is)-possible
ἰάσασθαι τὰ ἐναντία πάθη· τήν τε ἀπόγνωσιν λέγω
to-heal the opposite passions the both despair I-mean
καὶ τὴν ὑπερηφανίαν. Ὥσπερ γὰρ σφοδρῶς ἐκφυσώμενον
and the pride as for vehemently being-blown
πῦρ, διασκορπιζόμενον ἀπόλλυται, καὶ μὴ τυχὸν δὲ
fire being-scattered is-destroyed and not having-met but
πνεύματος πάλιν φθείρεται· οὕτω καὶ ἡ ἀρετὴ ἀφίπταται
wind again is-destroyed so also the virtue flies-away
δι᾽ ὑπεροψίαν, κἂν πολλὴν σφοδρότητα ἀσκήσεως
through arrogance even-if much intensity of-asceticism
λάβῃ· καὶ φθείρεται δὲ πάλιν ἐξ ἀμελείας τὸ καλὸν,
it-take and is-destroyed too again from negligence the good
ὅταν μηδ᾽ ὅλως κινήσωμεν ἑαυτοὺς πρὸς ῥιπισμὸν τοῦ
when not at-all we-stir ourselves toward (the)-fanning of-the
θείου Πνεύματος. Μάχαιρα ἔπακμος ῥᾳδίως ὑπὸ λίθου
divine Spirit (a)-sword sharp easily by (a)-stone
κατάγνυται· καὶ ἄσκησις ἐπιτεταμένη συντόμως ἐκ τοῦ
is-broken and asceticism intense quickly from the
ὑπερηφανεύεσθαι ἀπόλλυται. Ὅθεν προσήκει πανταχόθεν
being-proud perishes whence it-is-fitting on-every-side

ἀσφαλίζεσθαι τὴν ψυχὴν, καὶ τὴν ἀκροτάτην ἄσκησιν ἐκ
to-secure the soul and the utmost asceticism from
τοῦ καύσωνος τῆς ὑπερηφανίας περικαιομένην ὑποκάμπτειν
the burning-heat of-the pride being-scorched to-bend-down
πρὸς τοὺς σκιώδεις τόπους, ἔσθ' ὅτε καὶ περιτέμνειν
toward the shady places — sometimes also to-prune
τὰ περιττὰ, πρὸς τὸ τὴν ῥίζαν εὐθαλεστέραν γενέσθαι.
the superfluous(-shoots) so-that — the root more-flourishing to-become
55 Τὸν δὲ τῇ ἀπογνώσει ἁλισκόμενον ἀνωρεπῆ βιάζεσθαι
the(-one) and by-the despair being-caught upward to-force
ποιεῖν τοῖς προειρημένοις λογισμοῖς. Καὶ γὰρ σφόδρα ἡ
to-make by-the aforesaid thoughts and for very the
ψυχὴ χαμαιπετὴς τυγχάνει. Καὶ γοῦν τῶν γεηπόνων
soul downcast is and at-any-rate of-the farmers
οἱ ἄριστοι, ἐπειδὰν φυτὸν βραχὺ καὶ ἀσθενὲς θεάσωνται,
the best whenever (a)-plant small and weak they-see
ποτίζουσι δαψιλῶς, καὶ ἐπιμελείας πολλῆς ἀξιοῦσι πρὸς
they-water abundantly and of-care much deem-worthy so-that
τὸ αὐξηθῆναι. Ἐπειδὰν δὲ ἐν φυτῷ πρόωρον βλάστην
— to-grow whenever but in (a)-plant premature growth
θεάσωνται, περιτέμνουσιν αὐτοὶ τὰ περιττά· φιλεῖ
τοὺς μεσάζοντας· «Ἐγὼ νομίζω μὴ ἰσχύειν με ταύτην
the mediators I think not to-be-able me it
ἀγοράσαι τοῦ ἀξίου τιμήματος.» Παρεκάλεσάν τε αὐτήν,
to-buy at-the worthy price they-besought and her
ἵνα κἂν τῶν ἐξ αὐτῆς πολυτίμων μαρμάρων ξένιον
that at-least of-the from it costly marbles (a)-gift
παρὰ τῶν ἁγίων κομίσηται. Ἡ δὲ μόλις ἐπένευσεν, μὴ
from the saints she-might-receive she and reluctantly assented not
βουληθεῖσα ἐπὶ πλεῖον λυπῆσαι αὐτούς· τὴν δὲ οἰκίαν μὴ
having-wished for longer to-grieve them the but house not
ἰσχύσαντες πωλῆσαι οἱ μακάριοι, μετὰ τὴν ἔφοδον τῶν
having-been-able to-sell the blessed(-ones) after the invasion of-the

βαρβάρων ὡς ἐμπυρισθεῖσαν αὐτὴν τοῦ μηδενὸς ὕστερον
barbarians as having-been-burned it for-the nothing later
ἀπέδοντο.
sold
Περὶ δὲ τῆς οὐσίας αὐτῶν ἅπερ ἐκ στόματος τοῦ 15
about and the property their which from (the)-mouth the
μακαρίου ἀκήκοα, ἀκροθιγῶς διηγήσομαι. Ἔλεγεν γὰρ
blessed(-man) I-have-heard briefly I-will-relate he-said for
κεκτῆσθαι ἐν προσόδῳ ἐνιαυσιαίῳ πλέον ἔλαττον
to-have-possessed in revenue annual more (or)-less
χρυσοῦ μυριάδας δώδεκα, χωρὶς ὧν εἶχεν κτημάτων
of-gold myriads twelve apart-from what he-had of-estates
τῆς ἰδίας ἐλευθέρας. Τὰ δὲ κινητὰ αὐτῶν τοσαῦτα
of-the own wife the and movables their so-many
ὑπῆρχεν, ὡς μέτρῳ μὴ ὑποβάλλεσθαι. Ἅπερ εὐθέως
were as to-measure not to-be-subjected which at-once
ἀρξάμενοι προθύμως ἐμέριζον, ἁγίοις ἀνδράσιν τὴν
having-begun eagerly they-distributed to-holy men the
τῆς ἐλεημοσύνης διακονίαν ἐγχειρίζοντες· ἀπέστελλον
of-the almsgiving ministry entrusting they-sent
ἐν ἄλλαις χώραις δι᾽ ἑνὸς μὲν μυριάδας τέσσαρας,
in other lands through one indeed myriads four
δι᾽ ἑτέρου δὲ τρεῖς, δι᾽ ἄλλου δὲ δύο καὶ
through another and three through another and two and
ἑτέρου μίαν καὶ τὰ λοιπὰ καθὼς συνήργει ὁ
another one and the rest as worked-together the
Κύριος.
Lord
Ἔλεγεν γὰρ ἡ ἁγία αὕτη τῷ μακαρίῳ αὐτῆς 16
said for the holy(-woman) this to-the blessed her
συζύγῳ ἀδελφῷ· «Βαρύτατόν ἐστιν ἡμῖν τὸ τοῦ βίου
spouse brother heaviest is for-us the of-the life

φορτίον καὶ οὔκ ἐσμεν ἱκανοὶ ἐν τούτοις ὄντες τὸν
burden and not we-are able in these being the
ἐλαφρὸν ζυγὸν τοῦ Χριστοῦ ἀναδέξασθαι· ἀποθώμεθα οὖν
light yoke — of-Christ to-take-up let-us-lay-aside then
διὰ τάχους τὰ χρήματα, ἵνα Χριστὸν κερδήσωμεν.» Ὁ
with speed the money that Christ we-may-gain he
δὲ ὡς παρὰ Θεοῦ οὕτως τὰς τῆς μακαρίας νουθεσίας
and as from God so the of-the blessed(-woman) admonitions
ἐδέχετο, καὶ πλουσίᾳ χειρὶ τὰ ὄντα ἐσκόρπιζον. Καί
received and with-rich hand the(-things) being they-scattered and
ποτε πάμπολλα παρακληθεῖσα παρ' ἡμῶν εἰπεῖν, πῶς
once very-much having-been-besought by us to-say how
ἠδυνήθησαν ἀπὸ τηλικούτου ὕψους ἐλθεῖν εἰς τοσαύτην
they-could from so-great height to-come to such
ταπείνωσιν, ἤρξατο λέγειν ὅτι· «Οὐκ ὀλίγους κόπους καὶ
lowliness she-began to-say that not few toils and
πολέμους ὑπέστημεν ἐν ἀρχῇ παρὰ τοῦ μισοκάλου
wars we-underwent in (the)-beginning from the good-hating
ἐχθροῦ, ἕως ἠδυνήθημεν τὸν ὄγκον τῶν τοσούτων
enemy until we-could the bulk of-the so-great
χρημάτων ἀπώσασθαι, δυσφοροῦντές τε καὶ θλιβόμενοι,
money to-thrust-away being-vexed both and being-afflicted
ὅτι οὐκ ἦν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλά,
because not was for-us the wrestling against blood and flesh but
καθώς φησιν ὁ ἀπόστολος, πρὸς τὰς ἀρχάς, πρὸς
as says the apostle against the principalities against
τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου·
the world-rulers of-the darkness of-the age this
ἐν μιᾷ δὲ νυκτὶ λυπούμενοι σφόδρα ὑπνώσαμεν, καὶ
in one and night grieving greatly we-fell-asleep and
ὁρῶμεν ἑαυτοὺς ἀμφότεροι ἐν σχήματι τοίχου στενοτάτου
we-see ourselves both in (the)-shape of-(a)-wall most-narrow

διερχομένους καὶ πάνυ ἀνιωμένους ἐν τῇ στενότητι,
passing-through and very distressed in the narrowness
ὥστε λοιπὸν τὰς ἑαυτῶν ψυχὰς ἀπολέγεσθαι. Ὡς δὲ
so-that further the own souls to-renounce when and
μετὰ πολλοῦ κόπου διήλθομεν, φησίν, τὴν ὀδύνην
with much toil we-passed-through she-says the pain
ἐκείνην, εἰς πολλὴν καὶ μεγάλην ἀναψυχὴν ηὑρέθημεν
that into much and great refreshment we-were-found
καὶ χαρὰν ἀνεκλάλητον· τοῦτο δὲ ἔδειξεν ἡμῖν ὁ Θεός,
and joy unspeakable this and showed to-us — God
τὴν ὀλιγοψυχίαν παραμυθούμενος, ἵνα θαρρῶμεν περὶ
the faint-heartedness consoling that we-may-take-courage about
τῆς μελλούσης ἡμᾶς ἐκ τοῦ πολλοῦ κόπου διαδέχεσθαι
the about-to us from the much toil to-succeed
ἀναπαύσεως.»
rest
«Ἐν μιᾷ τοιγαροῦν ἡμέρᾳ,» ὡς ἔλεγεν ἡ γενναία καὶ 17
on one therefore day as said the noble and
μεγαλόφρων αὕτη δούλη τοῦ Χριστοῦ, «πολλοῦ καὶ
high-minded this handmaid — of-Christ much and
ἀφάτου ἡμῖν συνηγμένου χρυσίου, ὥστε ἀποστεῖλαι εἰς τὴν
unspeakable to-us gathered gold so-as to-send for the
τῶν πτωχῶν καὶ ἁγίων διακονίαν, χιλιάδας χρυσίου πέντε
of-the poor and saints ministry thousands of-gold five
καὶ τεσσαράκοντα, εἰσελθοῦσα ἐν τῷ τρικλίνῳ ἔδοξα ἐξ
and forty having-entered in the dining-hall I-seemed from
ἐνεργείας τοῦ διαβόλου ἐκ τοῦ πλήθους τῶν χρημάτων
(the)-working of-the devil from the multitude of-the money
ὥσπερ πυρὶ τὸν οἶκον καταυγάζεσθαι, καὶ πολέμιον
as-if with-fire the house to-be-lit-up and (an)-enemy
ἐν τοῖς λογισμοῖς μου λέγοντά μοι· Ποταπὴ αὕτη ἡ
in the thoughts my saying to-me of-what-sort this the

βασιλεία τῶν οὐρανῶν ὑπάρχει, ὅτι τοσούτων ὠνεῖται
kingdom of-the heavens is that for-so-much it-is-bought
χρημάτων; Ὡς δὲ ἐδυσφόρουν, φησίν, ἀντιπολεμοῦσα
money when and I-was-vexed she-says fighting-back-against
τῷ διαβόλῳ, νήψασα εὐθέως ἔδραμον πρὸς τὴν
the devil having-come-to-my-senses at-once I-ran to the
ἄμαχον συμμαχίαν καὶ τὰ γόνατα κλίνασα ἐδεόμην τοῦ
invincible alliance and the knees having-bent I-besought the
Κυρίου ἀποσοβῆσαι ἀπ᾽ ἐμοῦ τὸν ἀντίπαλον. Καὶ μετὰ τὴν
Lord to-drive-away from me the adversary and after the
εὐχὴν ἐν καταστάσει γεναμένη ἔλεγον ἐν τῇ διανοίᾳ μου·
prayer in calm having-become I-said in the mind my
ἐκεῖνά εἰσιν τὰ τοῖς φθαρτοῖς τούτοις ἀγοραζόμενα,
those are the(-things) by-the perishable these bought
περὶ ὧν φησιν ἡ ἁγία γραφή· Ἃ ὀφθαλμὸς οὐκ
about which says the holy scripture what eye not
εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου
saw and ear not heard and into (the)-heart of-man
οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν
not went-up what prepared — God for-those loving
αὐτόν.»
him

18 Τὸ δὲ αὐτὸ τοῦτο ἐκ δευτέρου πεπονθέναι ἔλεγεν,
the and same this from (a)-second(-time) to-have-suffered she-said
ἐκδιδάσκουσα ἡμᾶς τὰς ποικίλας μεθοδείας τοῦ ἐχθροῦ, ὅτι
teaching us the various wiles of-the enemy that
χρὴ πάντοτε ἀγρυπνεῖν καὶ μηδὲ ὅλως ἀμεριμνῆσαι
it-is-needful always to-be-watchful and not-even at-all to-be-careless
τὰς βουλομένας ἀρέσαι τῷ Κυρίῳ ψυχάς· «Ἦν γὰρ
the wishing to-please the Lord souls there-was for
ἡμῖν, φησίν, ἀξιοεπαίνετον κτῆμα, ἐν δὲ τῷ κτήματι
to-us she-says (a)-praiseworthy estate in and the estate

βαλανεῖον πᾶσαν κοσμικὴν ὑπερβαῖνον λαμπρότητα· καὶ
(a)-bath all worldly surpassing splendor and
γὰρ εἶχεν ἐξ ἑνὸς μὲν μέρους τὴν θάλασσαν, ἐκ
for it-had from one indeed side the sea from
δὲ ἑτέρου ὕλην παντοίαν, ἐν ᾗ σύαγροι ἔλαφοί τε
and the-other wood of-every-kind in which wild-boars deer both
καὶ δορκάδες καὶ ἕτερα ἀγριμαῖα ἐνέμοντο, ὡς τοὺς
and gazelles and other wild-beasts grazed so-that those
λουομένους ἐκ τῆς νεροφόρου θεωρεῖν ἐκεῖθεν μὲν τὰ
bathing from the pool to-see from-there indeed the
πλοιάρια ἀρμενίζοντα, ἐντεῦθεν δὲ τὴν θήραν ἐν τῇ
boats sailing from-here and the hunt in the
ὕλῃ. Εὑρὼν οὖν ἐν τούτῳ πάλιν εὔκαιρον πρόφασιν ὁ
wood having-found then in this again (a)-timely pretext the
διάβολος ὑπέβαλλέν μοι, φησίν, τήν τε ποικιλίαν τῶν
devil suggested to-me she-says the both variety of-the
ἐκεῖσε μαρμάρων καὶ τὴν ἐν τῇ κώμῃ αὐτῇ ἄφατον
there marbles and the in the village itself unspeakable
πρόσοδον. Ἐκέκτητο γὰρ πέριξ τοῦ βαλανείου ἑξήκοντα
revenue it-possessed for around the bath sixty
καὶ δύο ἐποίκια.» Ἡ δὲ μακαρία πάλιν τὸ ὄμμα πρὸς
and two farmsteads the and blessed(-woman) again the eye to
τὸν Θεὸν ἀνατείνασα τῷ εὐσεβεῖ ἐπιλογισμῷ τὸν ἐχθρὸν
— God having-raised with-the pious reflection the enemy
ἀπεκρούσατο λέγουσα· «Οὐ μήπου ἐμποδίσῃς ἐν τούτῳ
repulsed saying not by-any-means you-will-binder in this
τὸν δρόμον, διάβολε· τί γὰρ ὅλως εἰσὶν ταῦτα, τὰ
the course devil what for at-all are these the(-things)
σήμερον ὄντα καὶ αὔριον ἢ ὑπὸ βαρβάρων ἢ ὑπὸ
today being and tomorrow either by barbarians or by
πυρὸς ἢ ὑπὸ χρόνου ἢ ὑπὸ ἄλλης τινὸς διαφθειρόμενα
fire or by time or by other some being-destroyed

περιστάσεως, πρὸς τὰ αἰώνια ἀγαθὰ τὰ ἀεὶ
circumstance compared-to the eternal good(-things) the(-ones) always
ὡσαύτως ὄντα καὶ τοῖς ἀπεράντοις αἰῶσιν παρεκτεινόμενα,
alike being and to-the endless ages extending
ἅπερ διὰ τούτων τῶν φθαρτῶν ἀγοράζεται;» Γνοὺς
which through these the perishable(-things) is-bought having-known
δὲ ὁ ἐχθρὸς ὡς οὐδὲν ἰσχύει πολεμῶν πρὸς αὐτήν,
and the enemy that nothing he-avails warring against her
ἀλλὰ μᾶλλον ἡττώμενος περισσοτέρους αὐτῇ προξενεῖ
but rather being-defeated more for-her procures
στεφάνους, αἰσχυνθεὶς οὐκέτι δι᾽ ὄχλου αὐτῇ γενέσθαι
crowns having-been-ashamed no-longer to annoyance to-her to-become
ἐτόλμησεν.
dared

19 Ἀδεῶς δὲ λοιπόν, ὡς προείπαμεν, τὰ ὑπόλοιπα τῶν ἐν τῇ
fearlessly and further as we-said-before the remaining of-the in —
Ῥώμῃ κτημάτων ἀποδόμενοι ὡς εἰπεῖν παντὶ τῷ κόσμῳ
Rome estates having-sold so-to speak to-all the world
ἐπήρκεσαν. Ποία γὰρ πόλις ἢ ποία πατρὶς ἄμοιρος
they-gave-aid what for city or what country without-share
τῶν μεγίστων αὐτῶν εὐποιϊῶν γεγένηται, ἐὰν εἴπωμεν
of-the greatest their benefactions has-been if we-say
Μεσοποταμίαν καὶ τὴν λοιπὴν Συρίαν, Παλαιστίνην τε
Mesopotamia and the rest Syria Palestine both
πᾶσαν καὶ τὰ μέρη τῆς Αἰγύπτου καὶ Πενταπόλεως; καὶ
all and the parts — of-Egypt and of-Pentapolis and
ἵνα μὴ πολλὰ λέγωμεν, πᾶσα ἡ δύσις καὶ πᾶσα ἀνατολὴ
that not much we-may-say all the west and all east
τῶν μεγίστων αὐτῶν εὐποιϊῶν μετείληφεν. Ἀμέλει αὐτὸς
of-the greatest their benefactions has-shared certainly myself
ἐγὼ τὴν ἐπὶ Κωνσταντινούπολιν ὁδεύσας ὁδὸν πολλῶν
I the to Constantinople having-traveled road many

γερόντων εὐχαριστούντων τοῖς ἁγίοις ἀκήκοα, μάλιστα δὲ
old(-men) giving-thanks to-the saints have-heard especially and
τοῦ κυρίου Τιγρίου τοῦ πρεσβυτέρου Κωνσταντινουπόλεως.
the lord Tigrius the presbyter of-Constantinople
Νήσους δὲ οὐκ ὀλίγας ὠνησάμενοι ἁγίοις ἀνδράσιν
islands and not few having-bought to-holy men
ἐδωρήσαντο· ὁμοίως δὲ καὶ ἀσκητήρια μοναχῶν τε καὶ
they-gave likewise and also hermitages of-monks both and
ἀειπαρθένων ὠνησάμενοι τοῖς οἰκοῦσιν αὐτὰ ἐχαρίσαντο,
of-ever-virgins having-bought to-those dwelling(-in) them they-granted
χρυσίον ἑκάστῳ τόπῳ τὸ ἱκανὸν παρέχοντες· πᾶσάν
gold to-each place the sufficient providing all
τε αὐτῶν τὴν ὁλοσήρικον στολήν, πολλὴν οὖσαν καὶ
both their the all-silk raiment much being and
βαρύτιμον, θυσιαστηρίοις ἐκκλησιῶν τε καὶ μοναστηρίων
costly to-altars of-churches both and of-monasteries
προσήνεγκαν· τὸν δὲ ἄργυρον αὐτῶν, πολὺν σφόδρα
they-offered the and silver their much very
τυγχάνοντα, συγκόψαντες θυσιαστήριά τε καὶ κειμήλια
being having-broken-up altars both and treasures
ἐκκλησιαστικὰ καὶ ἕτερα πολλὰ ἀναθήματα τῷ Θεῷ
ecclesiastical and other many offerings — to-God
ἐποίησαν. Πωλήσαντες δὲ τὰ περὶ τὴν Ῥώμην καὶ
they-made having-sold and the around — Rome and
Ἰταλίαν καὶ Σπανίαν καὶ Καμπανίαν κτήματα ἀπέπλευσαν
Italy and Spain and Campania estates sailed-away
ἐπὶ τὴν Ἀφρικήν. Καὶ εὐθέως Ἀλάριχος ἐπέστη τοῖς
to — Africa and at-once Alaric came-upon the
κτήμασιν, οἷς ἀπέδοντο οἱ μακάριοι. Καὶ πάντες τὸν
estates which sold the blessed(-ones) and all the
τῶν ὅλων δεσπότην ἐδόξαζον λέγοντες· «Μακάριοι οἱ
of-the all master glorified saying blessed (are)-those

φθάσαντες ἑαυτῶν ἀποδόσθαι τὰ πράγματα πρὸ
having-been-beforehand their-own to-sell the affairs before
τῆς τῶν βαρβάρων ἐπιστασίας.» Καὶ ὅτε ἐξῆλθον
the of-the barbarians coming and when they-went-out
τῆς Ῥώμης, ὁ ἔπαρχος τῆς πόλεως, ἑλληνικώτατος
— from-Rome the prefect of-the city most-pagan
σφόδρα τυγχάνων, ἐβουλεύσατο σὺν πάσῃ τῇ συγκλήτῳ
very being planned with all the senate
τὰ πράγματα αὐτῶν κυρῶσαι τῷ δημοσίῳ. Τοῦτο δὲ
the affairs their to-confirm to-the public-treasury this and
αὐτοῦ ἕωθεν ἐπιτελεῖν σπουδάζοντος, ἐγένετο κατὰ
he at-dawn to-accomplish being-eager it-happened according-to
Θεοῦ πρόνοιαν ἐπαναστῆναι αὐτῷ τὸν δῆμον δι'
God's providence to-rise-up against-him the people because-of
ἔνδειαν ἄρτων. Καὶ οὕτως ἑλκόμενος ἐφονεύθη ἐν
(a)-shortage of-bread and so being-dragged he-was-murdered in
μέσῳ τῆς πόλεως· καὶ οἱ λοιποὶ πάντες φοβηθέντες
(the)-midst of-the city and the rest all having-feared
ἡσύχασαν.
kept-quiet
Πλεόντων δὲ αὐτῶν ἀπὸ Σικελίας πρὸς τὸν ἁγιώτατον
sailing and they from Sicily to the most-holy
ἐπίσκοπον Παυλῖνον, πρὸς ὃν καὶ τὴν ἀρχὴν ἀπετάξαντο,
bishop Paulinus to whom also the beginning they-renounced
κατ' οἰκονομίαν Θεοῦ πνεύσαντες ἐναντίοι ἄνεμοι
according-to (the)-dispensation of-God having-blown contrary winds
διεκώλυον αὐτοὺς τοῦ πλοός, ὥστε γενέσθαι αὐτοῖς
hindered them from-the voyage so-that to-come-about for-them
μεγάλην συστροφήν. Πολλοῦ δὲ ὄντος τοῦ πλήθους ἐν
great confusion much and being the multitude in
τῇ νηΐ, ἐπέλειπεν αὐτοῖς καὶ τὸ ὕδωρ, ὥστε παρὰ
the ship failed them also the water so-that within

βραχὺ κινδυνεῦσαι πάντας. Τῶν δὲ ναυτῶν λεγόντων
little to-be-in-danger all the and sailors saying
ὀργὴν Θεοῦ εἶναι τοῦτο, ἔφη πρὸς αὐτοὺς ἡ μακαρία·
wrath of-God to-be this said to them the blessed(-woman)
«Πάντως οὐκ ἔστιν θέλημα Θεοῦ ἀπελθεῖν ἡμᾶς εἰς
surely not is (the)-will of-God to-go us to
ὃν προεθέμεθα τόπον· δότε οὖν τῷ φέροντι
which we-proposed place give then to-the(-wind) carrying
τὸ πλοῖον καὶ μὴ βιάζεσθε τοὺς ἀνέμους.» Οἱ δέ,
the ship and not force the winds they and
καθὼς προσετάχθησαν παρὰ τῆς ἁγίας, τείνουσιν τὸ
as they-were-ordered by the holy(-woman) stretch the
ἄρμενον καὶ παραβάλλουσιν εἴς τινα νῆσον, ἣν οἱ
sail and put-in at some island which the
βάρβαροι περιεκάθηντο, ἀποσπάσαντες τοὺς μεγάλους
barbarians were-besieging having-dragged-off the great(-men)
τῆς πόλεως μετὰ γυναικῶν καὶ τέκνων· καὶ ἀπῄτουν
of-the city with women and children and were-demanding
αὐτοὺς φανερὸν χρυσίον, ὅπερ εἰ μὲν δώσουσιν,
(from)-them manifest gold which if indeed they-will-give
ἀπολυθήσονται· εἰ δὲ μή, καὶ αὐτοὶ φονευθήσονται
they-will-be-released if but not also they-themselves will-be-murdered
καὶ ἡ πόλις ἐμπρησθήσεται ὑπ᾽ αὐτῶν. Ὡς οὖν
and the city will-be-burned by them when then
ἀπέβησαν οἱ ἅγιοι τῆς νηός, ἀκούσας ὁ ἐπίσκοπος
disembarked the saints from-the ship having-heard the bishop
παραγίνεται πρὸς αὐτοὺς μετὰ καὶ ἄλλων, γονυπετῶν
comes to them with also others falling-on-his-knees-to
αὐτοὺς καὶ λέγων· «Ὅσον ἡμᾶς ζητοῦσιν χρυσίον
them and saying as-much-as from-us they-seek gold
οἱ βάρβαροι, ἔχομεν παρεκτὸς δισχιλίων πεντακοσίων
the barbarians we-have except two-thousand five-hundred

νομισμάτων.» Οἱ δὲ προθύμως ταῦτα παρασχόντες
coins they and eagerly these having-provided
ἠλευθέρωσαν ἅπαντας τοὺς τῆς πόλεως ἐκ τῶν
freed all the(-people) of-the city from the
βαρβάρων, χαρισάμενοι αὐτοῖς καὶ ἄλλα νομίσματα
barbarians having-granted to-them also other coins
πεντακόσια· καὶ ἐξ ὧν ἐπεφέροντο ἄρτου τε καὶ
five-hundred and from what they-were-carrying of-bread both and
κελλαρικοῦ, ἔκ τε τοῦ λιμοῦ καὶ τῆς θλίψεως
of-cellar-stores from both the famine and the affliction
τεταλαιπωρηκότας αὐτοὺς διέθρεψαν. Οὐ μόνον δέ, ἀλλὰ
having-suffered-hardship them nourished not only and but
καὶ γυναῖκά τινα ἐπίσημον ἐξ αὐτῶν, κατεχομένην ὑπὸ
also (a)-woman certain notable from them detained by
τῶν βαρβάρων, παρεσχηκότες νομίσματα πεντακόσια
the barbarians having-provided coins five-hundred
ἐξηγόρασαν.
they-ransomed

AFRICA AND HER ASCETICISM

In Africa, on the bishops' advice, they endowed monasteries, two at Thagaste. Melania fasted ever harder, eating at last only at the week's end; she copied books, read both Testaments three or four times a year, slept two hours, would take nothing from heretics, wore hair, and kept nothing of her own.

20 Καὶ οὕτως ἐξελθόντες ἐκεῖθεν ἔπλευσαν εἰς τὴν Ἀφρικήν,
and so having-gone-out from-there they-sailed to — Africa
καθὼς προείπαμεν. Παραγενάμενοι δὲ ἐκεῖσε, εὐθέως
as we-said-before having-arrived and there at-once
πωλοῦντες τὰ κτήματα ἐν τῇ Νουμιδίᾳ καὶ Μαυριτανίᾳ
selling the estates in — Numidia and Mauretania

καὶ ἐν αὐτῇ τῇ Ἀφρικῇ, ἀπέστειλαν τὰ χρήματα τὰ
and in itself — Africa they-sent the money the(-part)
μὲν εἰς τὴν τῶν πτωχῶν διακονίαν, τὰ δὲ εἰς
indeed for the of-the poor ministry the(-part) and for
ἀγορασίαν τῶν αἰχμαλώτων. Καὶ οὕτως σκορπίζοντες
(the)-purchase of-the captives and so scattering
ἀφειδῶς, ἔχαιρον ἐν Κυρίῳ καὶ ηὐφραίνοντο, ἔργῳ
unsparingly they-rejoiced in (the)-Lord and were-glad in-deed
τὸ γεγραμμένον πληροῦντες· «Ἐσκόρπισεν, ἔδωκεν
the(-thing) written fulfilling he-scattered he-gave
τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα
to-the poor the righteousness his remains to the age
τοῦ αἰῶνος.» Πάντα δὲ τὰ ἑαυτῶν κτήματα προῃρημένων
of-the age all and the their-own estates having-chosen
πωλῆσαι τῶν μακαρίων, οἱ κατὰ τὴν Ἀφρικὴν ἁγιώτατοι
to-sell the blessed(-ones) the in — Africa most-holy
καὶ μεγάλοι ἐπίσκοποι, λέγω δὴ ὁ μακάριος Αὐγουστῖνος
and great bishops I-mean indeed the blessed Augustine
καὶ ὁ τούτου ἀδελφὸς Ἀλύπιος καὶ Αὐρήλιος ὁ
and the his brother Alypius and Aurelius the(-bishop)
Καρταγέννης συνεβούλευσαν αὐτοῖς λέγοντες ὅτι· Ἅπερ
of-Carthage counseled them saying that what
νῦν παρέχεται τοῖς μοναστηρίοις νομίσματα, εἰς ὀλίγον
now is-provided to-the monasteries coins in little
ἀναλίσκεται χρόνον· εἰ δὲ βούλεσθε ἄληστον ἔχειν μνήμην
is-spent time if but you-wish unforgettable to-have (a)-memory
ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, δωρήσασθε ἑκάστῳ μοναστηρίῳ
in heaven and on earth give to-each monastery
καὶ οἰκίαν καὶ πρόσοδον. Οἱ δὲ σφόδρα τὴν ἀρίστην
both (a)-house and revenue they and greatly the excellent
γνώμην τῶν ἁγίων ἀποδεξάμενοι, ἐποίησαν, καθὼς ὑπ᾽
counsel of-the saints having-accepted did as by

αὐτῶν συνεβουλεύθησαν. Καὶ λοιπὸν αὐτοὶ προκόπτοντες
them they-were-counseled and further they advancing
ἐπὶ τὰ κρείττονα ἐπειρῶντο εἰς πᾶσαν εὐτέλειαν ἑαυτοὺς
to the better(-things) tried to all cheapness themselves
ἐθίζειν ἔν τε τῇ οἰκήσει καὶ ἐν τῇ μεταλήψει.
to-accustom in both the dwelling and in the partaking

21 Ἡ δὲ πόλις τοῦ μακαριωτάτου ἐπισκόπου Ἀλυπίου, ὀνόματι
the and city of-the most-blessed bishop Alypius by-name
Θαγαστή, μικρὰ καὶ εὐτελεστάτη ἐτύγχανεν· ἣν ἐξελέξαντο
Thagaste small and most-humble was which chose
πρὸς οἴκησιν οἱ μακάριοι, μάλιστα διὰ τὴν συντυχίαν
for (a)-dwelling the blessed(-ones) especially because-of the company
τοῦ προειρημένου ἁγίου ἀνδρὸς Ἀλυπίου. Διαλεκτικώτατος
of-the aforesaid holy man Alypius most-skilled-in-argument
γὰρ ἐν ταῖς ἁγίαις γραφαῖς πάνυ ἐτύγχανεν· ὃν ἠγάπησεν
for in the holy scriptures very he-was whom loved
ἡ μακαρία μήτηρ ἡμῶν ὡς φιλολόγος. Καὶ γὰρ αὕτη
the blessed mother our as (a)-lover-of-learning and for she
οὕτως ἠσκεῖτο ἐν τούτῳ, ὥστε μηδέποτε τὴν βίβλον
so was-practiced in this so-that never the book
ἀφίστασθαι ἐκ τῶν ἁγίων αὐτῆς χειρῶν. Καὶ τοσοῦτον
to-leave from the holy her hands and so-much
ἐκόσμησεν τὴν ἐκκλησίαν τοῦ ἁγίου τούτου ἀνδρὸς ἔν
she-adorned the church of-the holy this man in
τε προσόδοις καὶ ἀναθήμασιν κειμηλίων χρυσῶν τε καὶ
both revenues and offerings of-treasures golden both and
ἀργυρῶν καὶ βήλων πολυτίμων καὶ ταῦτα πενιχρὰν οὖσαν
silver and curtains costly and that poor being
σφόδρα τὸ πρότερον, ὥστε φθόνον ἐγεῖραι τῷ ἀνδρὶ
very the before so-as envy to-rouse against-the man
ἀπὸ τῶν λοιπῶν ἐπισκόπων τῆς ἐπαρχίας ἐκείνης.
from the other bishops of-the province that

Ἔκτισαν δὲ καὶ μοναστήρια μεγάλα δύο ἐκεῖσε, 22
they-built and also monasteries great two there
παρασχόντες αὐτοῖς αὐτάρκη πρόσοδον, ὧν τὸ μὲν
having-provided to-them sufficient revenue of-which the(-one) indeed
ᾤκησαν ἅγιοι ἄνδρες τὸν ἀριθμὸν ὀγδοήκοντα, τὸ δὲ ἕτερον
dwelt-in holy men the number eighty the and other
παρθενεύουσαι τὸν ἀριθμὸν ἑκατὸν τριάκοντα. Προβαίνουσα
(women)-living-as-virgins the number hundred thirty advancing
δὲ ἡ ἁγία ταῖς ἀρεταῖς, ὡς εἶδεν μικρὸν ἑαυτὴν
and the holy(-woman) in-the virtues when she-saw (a)-little herself
ἐλαφρυνθεῖσαν τοῦ βάρους τῶν χρημάτων καὶ τὸ ἔργον
having-been-lightened of-the weight of-the money and the work
τῆς Μάρθας πληρώσασαν, ἤρξατο λοιπὸν μιμεῖσθαι καὶ τὴν
— of-Martha having-fulfilled she-began further to-imitate also —
Μαρίαν, ἥτις ἐπῃνέθη ἐν τῷ εὐαγγελίῳ ὡς τὴν ἀγαθὴν μερίδα
Mary who was-praised in the gospel as the good portion
ἐκλεξαμένη. Καὶ γὰρ ἐν ταῖς ἀρχαῖς καθ' ἑσπέραν μόνον
having-chosen and for in the beginnings at evening only
ἐγεύετο ὀλίγου ἐλαίου καὶ μικροῦ κονδίτου μετελάμβανε,
she-tasted (a)-little oil and (a)-little spiced-wine partook-of
οἴνῳ δὲ οὐδὲ κοσμικὴ οὖσα ἐχρήσατο πώποτε διὰ τὸ
wine but not-even worldly being she-used ever because-of the
οὕτως ἀνάγεσθαι τὰ τέκνα τῶν ἐν τῇ Ῥώμῃ συγκλητικῶν.
so to-be-brought-up the children of-the in — Rome senators
Τότε λοιπὸν ἤρξατο συντόνῳ νηστείᾳ ὑπωπιάζειν τὸ σῶμα
then further she-began with-intense fasting to-buffet the body
καὶ πρῶτον μὲν διὰ δύο μετελάμβανεν ἐκτὸς ἐλαίου,
and first indeed every two(-days) she-partook except-for oil
ἔπειτα διὰ τριῶν, εἶτα διὰ πέντε, τοῦτ' ἔστιν σαββάτῳ
then every three then every five that is on-sabbath

καὶ κυριακῇ μόνον ῥυπαρὸν ἤσθιεν ἄρτον. Καὶ ἐζήλου
and on-Lord's-day only coarse she-ate bread and she-was-zealous
πάντας ὑπερβαίνειν τῇ ἀσκήσει.
all to-surpass in-the asceticism

23 Ἔγραφεν δὲ εὐφυῶς πάνυ καὶ ἀπταίστως ἐν σωματίοις·
she-wrote and gracefully very and faultlessly in notebooks
ὥρισεν δὲ ἑαυτῇ, πόσον ὀφείλει γράψαι τῆς ἡμέρας καὶ
she-fixed and for-herself how-much she-ought to-write of-the day and
πόσον ἀναγνῶναι τῶν ἐνδιαθέτων βιβλίων καὶ πόσον ἐν
how-much to-read of-the canonical books and how-much in
τοῖς συντάγμασιν τῶν ὁμιλητῶν. Καὶ μετὰ τὸ κορεσθῆναι,
the treatises of-the homilists and after the to-be-sated
καθάπερ πλακοῦντα ἐσθίουσα, οὕτως διήρχετο τοὺς βίους
as-if cake eating so she-went-through the lives
τῶν πατέρων. Εἶτα ἐκοιμᾶτο ὡς ὡρῶν δύο διάστημα
of-the fathers then she-slept about of-hours two (an)-interval
καὶ εὐθέως ἐξυπνιζομένη διήγειρεν καὶ τὰς σὺν αὐτῇ
and at-once waking she-roused also the with her
ἀσκουμένας παρθένους λέγουσα· «Ὥσπερ τὰ ἀκροθίνια
practicing-asceticism virgins saying as the first-fruits
ὁ μακάριος Ἄβελ καὶ ἕκαστος τῶν ἁγίων τῷ Θεῷ
the blessed Abel and each of-the saints — to-God
προσέφερεν, οὕτω καὶ ἡμεῖς τὰς ἀπαρχὰς τῆς νυκτὸς
offered so also we the first-fruits of-the night
εἰς δοξολογίαν τοῦ Θεοῦ ἀναλώσωμεν· γρηγορεῖν γὰρ καὶ
in glorification — of-God let-us-spend to-watch for and
προσεύχεσθαι πᾶσαν ὥραν ὀφείλομεν, καθὼς γέγραπται,
to-pray every hour we-ought as it-is-written
ὅτι οὐκ οἴδαμεν, ποίαν ὥραν ὁ κλέπτης ἔρχεται. Κανόνας
that not we-know what hour the thief comes rules
δὲ ταῖς σὺν αὐτῇ ἀδελφαῖς ἀκριβεῖς παρέδωκεν, ὅπως μήτε
and to-the with her sisters strict she-handed-down that neither

λόγον ἀργὸν μήτε γέλωτα προπετῆ ἐκ τοῦ στόματος αὐτῶν
word idle nor laughter rash from the mouth their
ἐξενέγκωσιν. Ἠρεύνα δὲ ἐμπόνως καὶ τοὺς λογισμοὺς αὐτῶν
they-bring-out she-searched and painstakingly also the thoughts their
καὶ οὐ συνεχώρει ὅλως ῥυπαρὰν ἐνθύμησιν οἰκεῖν ἐν αὐταῖς.
and not she-allowed at-all (a)-filthy thought to-dwell in them
Αὐτὴ δέ, καθὼς προείπαμεν, ἀπὸ τῆς ἁγίας πεντηκοστῆς 24
she and as we-said-before from the holy Pentecost
ἕως τῶν πάσχων ἑβδομάδας νηστεύουσα, ἐλαίου οὐδὲ ὅλως
until the Pascha weeks fasting of-oil not-even at-all
μετελάμβανεν· καὶ ὡς πολλοὶ τῶν ἀκριβῶς ἐπισταμένων
partook and as many of-those exactly knowing
διώμνυντο, ὅτι ἐκτὸς τοῦ σάκκου οὐκ ἐκοιμήθη ποτὲ οὔτε
swore that apart-from the sackcloth not she-slept ever nor
ἔφαγεν ἐν σαββάτῳ πρὸ τοῦ τελέσαι ὅλον αὐτῆς τὸν κανόνα.
ate on (the)-sabbath before the to-complete whole her the rule
Ἐπὶ πολλὰ τοίνυν ἔτη τοῦτον ἀσκουμένη τὸν τρόπον, 25
for many then years in-this practicing-asceticism the way
ἤρξατο καὶ τὴν ἁγίαν ἑορτὴν τῆς ἀναστάσεως τοῦ Χριστοῦ
she-began also the holy feast of-the resurrection — of-Christ
νηστεύειν. Καὶ σφόδρα λυπηθεῖσα ἡ μακαρία μήτηρ αὐτῆς,
to-fast and greatly having-grieved the blessed mother her
ἥτις ἐμιμήσατο τὰς ἀρχαίας καὶ ἁγίας γυναῖκας, (ἧς ὁ
who imitated the ancient and holy women whose the
ἐνάρετος βίος ἑτέρου πρὸς συγγραφὴν ἐπιδέεται· ἐμοὶ δὲ
virtuous life of-another for writing has-need to-me and
ἀρκεῖ τοῦτο περὶ αὐτῆς εἰπεῖν, ὅτι ἐκ τοῦ καρποῦ τὸ
suffices this about her to-say that from the fruit the
δένδρον γνωρίζεται καὶ ἀγαθῆς ῥίζης καρπὸς εὐκλεής) —
tree is-known and of-good root (the)-fruit (is)-glorious
τοιαῦτα πρὸς αὐτὴν ἔλεγεν, ὅτι οὐκ ἔστιν δίκαιον χριστιανὸν
such-things to her she-said that not it-is right (for-a)-Christian

νηστεύειν ἐν τῇ ἡμέρᾳ τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
to-fast on the day of-the of-the lord our Jesus Christ
ἀναστάσεως, ἀλλ᾽ ἀπολαύειν τῆς σωματικῆς τροφῆς, ὥσπερ
resurrection but to-enjoy the bodily food just-as
οὖν καὶ τῆς πνευματικῆς. Καὶ μόλις ταῦτα λέγουσα
then also the spiritual(-food) and hardly these-things saying
ἔπεισεν τὴν μακαρίαν αὐτῆς θυγατέρα ἕως τριῶν ἡμερῶν
she-persuaded the blessed her daughter for three days
τῆς ἑορτῆς μεταλαμβάνειν ἐλαίου· καὶ πάλιν εἰς τὴν συνήθη
of-the feast to-partake-of oil and again to the customary
αὐτῆς ἄσκησιν ἀνακάμπτει, καθάπερ γεωργὸς ἄριστος εὐθαλῆ
her asceticism she-returns as (a)-farmer excellent flourishing
ἄρουραν κεκτημένος, προστρέχουσα τῇ οἰκείᾳ καλλιεργίᾳ.
(a)-field having-acquired running-to the own cultivation

26 Ἀνεγίνωσκεν δὲ ἡ μακαρία τὴν μὲν παλαιὰν καὶ
read and the blessed(-woman) the indeed old and
καινὴν διαθήκην τοῦ ἐνιαυτοῦ τρίτον ἢ τέταρτον·
new testament in-the year (a)-third(-time) or (a)-fourth
καλλιγραφοῦσά τε αὔταρκες παρεῖχεν τοῖς ἁγίοις ἐκ τῶν
writing-beautifully and sufficiently provided to-the saints from the
ἰδίων χειρῶν ὑποδείγματα· καὶ τὸν κανόνα ἐπιτελοῦσα μετὰ
own hands copies and the rule completing with
τῶν σὺν αὐτῇ παρθένων, κατ᾽ ἰδίαν τοὺς λοιποὺς ψαλμοὺς
the with her virgins by herself the remaining psalms
ἀπεστήθιζεν· οὕτως δὲ συντόνως τὰ τῶν ἁγίων συντάγματα
she-recited-by-heart so and intensely the of-the saints treatises
ἀνεγίνωσκεν, ὥστε μὴ λαθεῖν αὐτὴν βιβλίον, ὅπερ εὑρεῖν
she-read so-that not to-escape her (a)-book which to-find
ἠδυνήθη· ἀλλὰ τὰ μὲν κτωμένη, τὰ δὲ κιχρωμένη,
she-could but some indeed buying others and borrowing
οὕτως ἐμπόνως διήρχετο, ὥστε μηδὲ ῥητὸν μηδὲ νόημα
so painstakingly she-went-through so-that not-even (a)-phrase nor (a)-thought

ἀγνοεῖν· δι᾽ ὑπερβολὴν δὲ φιλομαθείας ἀναγινώσκουσα
to-be-ignorant-of through excess and of-love-of-learning reading
ῥωμαϊστὶ ἐδόκει πᾶσιν μὴ εἰδέναι ἑλληνιστί· καὶ πάλιν
in-Latin she-seemed to-all not to-know Greek and again
ἀναγινώσκουσα ἑλληνιστὶ ἐνομίζετο ῥωμαϊστὶ μὴ ἐπίστασθαι.
reading in-Greek she-was-thought Latin not to-know
Εἶχεν δὲ πραότητα πρὸς τοὺς φιλοσοφίαν ἀσκοῦντας 27
she-had and gentleness toward those philosophy practicing
ἀνεκδιήγητον· τὸν δὲ ζῆλον τὸν ὑπὲρ τοῦ ὀνόματος τοῦ
indescribable the but zeal the(-zeal) for the name of-the
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς ὀρθοδόξου πίστεως
lord our Jesus Christ and of-the orthodox faith
οὕτως ἐκέκτητο, ὥστε εἴ τινα κἂν ψιλῷ τῷ ὀνόματι
so she-possessed so-that if any-one even by-bare the name
αἱρετικὸν ἤκουεν, εἰ μὲν συμβουλευούσῃ αὐτῷ μεταβαλέσθαι
heretical she-heard if indeed counseling him to-change
ἐπὶ τὸ συμφέρον ἐπείθετο· εἰ δὲ μή γε, οὔτε εἰς οἰκονομίαν
to the beneficial he-obeyed(-her) if but not at-least neither for (the)-support
τῶν πτωχῶν λαβεῖν τι παρ᾽ αὐτοῦ κατεδέχετο.
of-the poor to-take anything from him she-consented
Ὅθεν γυναικὸς ὑπάτου τινὸς ἐν ξενιτείᾳ καταλυσάσης 28
whence (the)-wife of-(a)-consul certain in (a)-foreign-land having-ended
τὸν βίον εἰς τοὺς ἁγίους τόπους ἀνήνεγκα τὸ ὄνομα ἐν
the life to the holy places I-offered-up the name in
τῇ ἁγίᾳ ἀναφορᾷ σὺν τοῖς προτελειωθεῖσιν ἁγίοις (τοῦτο
the holy anaphora with the having-been-perfected-before saints this
γὰρ ἡμῖν ἔθος ποιεῖν, ἵνα ἐν τῇ ὥρᾳ τῇ φοβερᾷ
for for-us (is)-the-custom to-do that in the hour the fearful
ἐκείνῃ ὑπὲρ ἡμῶν πρεσβεύουσιν)· καὶ ἐπειδὴ κοινωνοῦσα
that for us they-may-intercede and since communicating
μεθ᾽ ἡμῶν τῶν ὀρθοδόξων αἱρετικὴ εἶναι παρά τινων
with us the orthodox heretical to-be by some

ἐλέγετο, οὕτως ἠγανάκτησεν ἡ μακαρία, ὡς παραυτὰ
she-was-said so was-indignant the blessed(-woman) as at-once
καὶ παραχρῆμα εἰπεῖν μοι μετὰ παρρησίας ὅτι· «Ζῇ
and immediately to-say to-me with boldness that (as)-lives
Κύριος, ἐὰν αὐτὴν ὀνομάζῃς, οὐκέτι κοινωνῶ σου τῇ
(the)-Lord if her you-name no-longer I-communicate your in-the
προσφορᾷ.» Ὡς δὲ ἔδωκα αὐτῇ λόγον ἐπὶ τοῦ ἁγίου
offering when and I-gave her (my)-word at the holy
θυσιαστηρίου, μηκέτι αὐτὴν ὀνομάσαι, ἔφη· «Τέως
altar no-longer her to-name she-said for-the-present
τὸ ἅπαξ τοῦτο, ἐπειδὴ ὠνόμασας αὐτήν, οὐ κοινωνῶ.»
the once this since you-named her not I-communicate
Οὕτως ἠπίστατο παράβασιν εἶναι τῆς ὀρθοδόξου πίστεως
so she-knew (a)-transgression to-be of-the orthodox faith
τὸ ὀνομάζειν αἱρετικοὺς ἐν τῇ ἁγίᾳ ἀναφορᾷ.
the to-name heretics in the holy anaphora

29 Τὴν δὲ σωφροσύνην οὕτως ὑπερβαλλόντως ἐπόθησεν,
the and temperance so exceedingly she-longed-for
ὡς πολλοὺς νέους τε καὶ νεάνιδας χρήμασίν τε καὶ
so-that many young-men both and maidens with-money both and
νουθεσίαις πείθειν ἀφίστασθαι τῆς ἀκολασίας καὶ ἀσέμνου
admonitions to-persuade to-withdraw from-the licentiousness and unseemly
πολιτείας, ταῦτα διδάσκουσα τοὺς παρατυγχάνοντας·
conduct these-things teaching those happening-by
«Βραχὺς ὁ παρὼν ὑπάρχει βίος καὶ ὀνείρατος οὐδὲν
short the present is life and from-(a)-dream in-nothing
διενήνοχεν· διὰ τί οὖν φθείρομεν τὰ ἑαυτῶν σώματα,
has-differed for why then do-we-destroy the our-own bodies
ναοὺς τοῦ Κυρίου τυγχάνοντα, καθὼς διαγορεύει ὁ θεῖος
temples of-the Lord being as declares the divine
ἀπόστολος; διὰ τί δὲ καὶ τὴν ἁγνείαν, ἐν ᾗ ὁ Χριστὸς
apostle for why and also the chastity in which — Christ

οἰκεῖν ἐπαγγέλλεται, προσκαίρῳ φθορᾷ καὶ ῥυπαραῖς
to-dwell promises for-temporary corruption and filthy
ἡδοναῖς ἀντικαταλλασσόμεθα; μέγα ἐστὶν ἀληθῶς τὸ τῆς
pleasures do-we-exchange great is truly the of-the
παρθενίας ἀξίωμα, ὡς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν
virginity dignity so-that the lord our Jesus Christ
καταξιῶσαι ἐκ παρθένου τεχθῆναι.» Ταῦτα δὲ πολλοὶ
to-deign from (a)-virgin to-be-born these-things and many
ἀκούοντες ἐζήλωσαν τὴν ἁγνείαν καὶ τοῖς σκάμμασιν
hearing emulated the chastity and onto-the arenas
τῆς ἀρετῆς ἐπεπήδησαν. Αὕτη δὲ πόσων ἁγίων πόδας
of-the virtue leapt she and of-how-many saints (the)-feet
ἔνιψεν, πόσοις δὲ δούλοις Θεοῦ ἐλειτούργησεν τοῦτο
washed to-how-many and servants of-God ministered this
μὲν χρήμασιν τοῦτο δὲ καὶ διὰ τοῦ λόγου τῆς
indeed with-money that and also through the word of-the
παρακλήσεως, πόσους δὲ Σαμαρείτας καὶ Ἕλληνας καὶ
exhortation how-many and Samaritans and pagans and
αἱρετικοὺς χρήμασίν τε καὶ παραινέσεσιν πείθουσα τῷ
heretics with-money both and exhortations persuading —
Θεῷ προσήνεγκεν, αὐτὸς ὁ τῶν ὅλων ἐπίσταται Κύριος,
to-God she-brought he-himself the of-the all knows Lord
δι᾽ ὃν καὶ τοὺς τοσούτους ἀγῶνας ἐτέλεσεν.
for whom also the so-many contests she-accomplished
Τὴν δὲ ἐλεημοσύνην οὕτως κατώρθωσεν, ὡς ἐξ αὐτῆς 30
the and almsgiving so she-achieved as from it
μόνης ἐλεηθῆναι ἐλπίζουσα, καθὼς εἶπεν ὁ Κύριος·
alone to-receive-mercy hoping as said the Lord
«Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.» Πρὸς
blessed (are)-the merciful for they will-receive-mercy besides
ἐπὶ τούτοις πᾶσιν οὕτως τὴν ἀκτημοσύνην ἠγάπησεν,
in-addition-to these all so the poverty she-loved

ὡς πρὸ ὀλίγου τοῦ ἐνδημῆσαι αὐτὴν πρὸς τὸν Κύριον
that before (a)-little the to-go-home her to the Lord
διαβεβαιοῦσθαι ἡμῖν μηδὲν ἐπὶ γῆς ἴδιον κεκτῆσθαι, εἰ μὴ
to-affirm to-us nothing on earth (her)-own to-possess if not
μόνον χρυσοῦν προσφοράριον ὡς νομισμάτων πεντήκοντα·
only (a)-golden offering-vessel about of-coins fifty
ὅπερ καὶ αὐτὸ ἀπέστειλέν τινι ἁγιωτάτῳ ἐπισκόπῳ,
which also itself she-sent to-some most-holy bishop
εἰποῦσα ὅτι· «Οὐδὲ αὐτὸ ἐκ τῆς πατρικῆς ἡμῶν οὐσίας
having-said that not-even it from the paternal our substance
κεκτῆσθαι βούλομαι.» Οὐ μόνον γὰρ τὰ ἑαυτῆς τῷ
to-possess I-wish not only for the her-own —
Θεῷ προσήγαγεν, ἀλλὰ καὶ ἑτέρους ποιῆσαι τοῦτο
to-God she-brought but also others to-do this
παρεσκεύασεν. Διὸ πολλοὶ τῶν φιλοχρίστων ὡς πιστῇ
she-prepared therefore many of-the Christ-loving as to-(a)-faithful
καὶ σοφῇ οἰκονόμῳ τὰ ἑαυτῶν παρεῖχον χρήματα· ἡ δὲ
and wise steward the their-own provided money she and
κατὰ τὴν παράκλησιν τοῦ προσφέροντος πιστῶς
according-to the request of-the(-one) offering faithfully
καὶ φρονίμως διανεμηθῆναι ταῦτα προσέταττεν.
and prudently to-be-distributed these-things ordered

31 Ἐποίησεν δὲ ἑαυτῇ ἱμάτιόν τε καὶ μαφόριον καὶ κουκούλλιον
she-made and for-herself (a)-cloak both and (a)-veil and (a)-hood
τρίχινα, καὶ ἀπὸ τῆς ἁγίας πεντηκοστῆς μέχρι τῆς πέμπτης
of-hair and from the holy Pentecost until the fifth(-day)
τοῦ ἁγίου πάσχα οὔτε ἡμέραν οὔτε νύκτα ταῦτα ἐξεδιδύσκετο.
of-the holy Pascha neither day nor night these she-took-off
Τοσαύτη ὑπῆρχεν ἡ ζέουσα αὐτῆς πρὸς τὸν Θεὸν ἀγάπη,
so-great was the boiling her toward — God love
καίτοι οὕτως τρυφερῶς ἀνατραφεῖσα ὡς τοιούτου
although so delicately having-been-brought-up as of-such

συγκλητικοῦ γένους ὑπάρχουσα. Ἔλεγον γὰρ οἱ ἀκριβῶς
senatorial family being said for those exactly
εἰδότες αὐτῆς τὴν εἰς παῖδας ἀνατροφήν, ὅτι, ὅτε ἦν ἐν τῷ
knowing her the in childhood upbringing that when she-was in the
κοσμικῷ σχήματι, συνέβη ποτὲ τὸ πλουμίον τῆς πολυτίμου
worldly guise it-happened once the embroidery of-the costly
αὐτῆς ὀθόνης, ἣν ἐφόρει, ἅψασθαι αὐτῆς τοῦ σαρκίου
her linen which she-wore to-touch her the flesh
καὶ ἐκ τούτου σύγκαυσιν αὐτῇ γενέσθαι δι᾽ ὑπερβολὴν
and from this (a)-burn for-her to-come-about through excess
ἁπαλότητος. Ἀλλ᾽ ὁ εἰπὼν Κύριος· «Αἰτεῖτε καὶ δοθήσεται
of-tenderness but the having-said Lord ask and it-will-be-given
ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν»
to-you seek and you-will-find knock and it-will-be-opened to-you
— καὶ ταύτῃ αἰτησάσῃ παρέσχεν τὴν ἐξ ὕψους δύναμιν.
also to-her having-asked provided the from on-high power
Καὶ ἐπειδὴ τῷ θείῳ τρωθεῖσα ἔρωτι ἐν τῇ αὐτῇ 32
and since by-the divine wounded love in the same
ἀεὶ μένειν οὐκ ἠνείχετο πολιτείᾳ, ἀλλὰ μειζοτέροις
always to-remain not she-endured conduct but in-greater
ἀγῶσιν ἑαυτὴν ἐναθλεῖν παρεσκεύαζεν, ἐβουλεύσατο ὥστε
contests herself to-contend she-prepared she-planned so-as
συγκλεῖσαι ἑαυτὴν εἰς κελλίον καὶ μηδενὶ συντυγχάνειν τὸ
to-shut-up herself in (a)-cell and with-no-one to-meet the
σύνολον, ἀλλὰ τῇ προσευχῇ καὶ τῇ νηστείᾳ ἀδιαλείπτως
at-all but to-the prayer and to-the fasting unceasingly
σχολάζειν. Ἀδυνάτου δὲ τούτου ὑπάρχοντος διὰ τὸ
to-devote-herself impossible and this being because-of the
πολλοὺς ὠφελεῖσθαι τῇ ἐνθέῳ αὐτῆς διδασκαλίᾳ καὶ
many to-be-benefited by-the inspired her teaching and
τούτου χάριν παρὰ πάντων ὀχλεῖσθαι, τοῦτο μὲν οὐκ
of-this for-the-sake by all to-be-troubled this indeed not

ἐποίησεν, ἐτύπωσεν δὲ ἑαυτῇ φανερὰς ὥρας, ἐν αἷς
she-did she-fixed and for-herself set hours in which
τοὺς προσιόντας ὠφέλει τῇ ἀγαθῇ αὐτῆς συντυχίᾳ,
those approaching she-benefited with-the good her company
τὰς δὲ λοιπὰς ὥρας τῷ Θεῷ προσομιλοῦσα διὰ τῆς
the and remaining hours — with-God conversing through the
προσευχῆς τὸ πνευματικὸν ἐξήνυεν ἔργον. Κατεσκεύασεν
prayer the spiritual she-accomplished work she-constructed
δὲ ἑαυτῇ ξυλίνην κιβωτὸν τοσοῦτον ἔχουσαν τὸ μέτρον,
and for-herself (a)-wooden box so-much having the measure
ὥστε ἐν αὐτῇ ἀνακειμένην μήτε δεξιὰ μήτε ἀριστερὰ
so-that in it lying neither right nor left
δύνασθαι στραφῆναι μήτε πάλιν ἄδειαν ἔχειν ὥστε
to-be-able to-be-turned nor again freedom to-have so-as
διατεῖναι αὐτῆς τὸ σῶμα. Τοσαύτας δὲ ἀρετὰς κεκτημένη
to-stretch-out her the body so-many and virtues having-acquired
οὐδέποτε ἐφυσιώθη ἐπὶ οἰκείῳ αὐτῆς κατορθώματι, ἀλλὰ
never was-puffed-up at own her achievement but
πάντοτε ἑαυτὴν ταλανίζουσα ἀχρείαν δούλην ὠνόμαζεν.
always herself calling-wretched (an)-unprofitable servant she-named
33 Καὶ εἴ ποτε συνέβη τὴν αὐτῆς μητέρα ὡς ἐπὶ θυγατρὶ
and if ever it-happened the her mother as over (a)-daughter
σπλαγχνιζομένην εἰσελθεῖν εἰς τὸ κελλίον αὐτῆς,
being-moved-with-compassion to-enter into the cell her
γράφουσα ἢ ἀναγινώσκουσα οὔτε ὅλως εἰς αὐτὴν ἠτένιζεν
writing or reading neither at-all at her she-gazed
οὔτε ἐλάλει αὐτῇ, μέχρις ὅτε ἐπλήρου τὸν συνήθη αὐτῆς
nor spoke to-her until when she-completed the customary her
κανόνα· καὶ λοιπὸν ὅσα ἐχρῆν ἐλάλει πρὸς αὐτήν.
rule and further what-things were-needful spoke to her
Ἡ δὲ περιπτυσσομένη αὐτὴν τοιαῦτα μετὰ δακρύων
she and embracing her such-things with tears

ἔλεγεν· «Πιστεύω κἀγὼ ἔχειν μερίδα εἰς τοὺς καμάτους
said believe I-too to-have (a)-share in the labors
σου, τέκνον· εἰ γὰρ ἡ μήτηρ τῶν ἑπτὰ παίδων τῶν
your child if for the mother of-the seven sons the
Μακκαβαίων ἐν μιᾷ ὥρᾳ τὰς βασάνους τῶν τέκνων ἰδοῦσα
Maccabees in one hour the tortures of-the children having-seen
αἰώνιον ἔχει σὺν αὐτοῖς τὴν εὐφροσύνην, πῶς οὐχὶ μᾶλλον
eternal has with them the joy how not rather
ἐγὼ καθ᾽ ἑκάστην ἡμέραν πλέον ἐκείνης βασανιζομένη
I by each day more than-her being-tortured
ἐν τῷ βλέπειν με οὕτως σὲ ἑαυτὴν κατατήκουσαν καὶ
in the seeing me so you yourself wasting-away and
μηδεμίαν ἀνάπαυσιν ἑαυτῇ παρεχομένην ἐκ τῶν τοσούτων
no rest to-yourself providing from the so-many
κόπων;» Καὶ πάλιν ἔλεγεν· «Εὐχαριστῶ τῷ Θεῷ, ὅτι
toils and again she-said I-thank — God that
ἀναξία οὖσα τοιαύτην ἔλαβον παρὰ τοῦ Κυρίου θυγατέρα.»
unworthy being such I-received from the Lord (a)-daughter

After seven years in Africa they sailed by Alexandria, where the prophet Nestheros comforted them, to Jerusalem, where they gave away their last gold and wished to be fed with the poor. With gold raised from their estates in Spain they visited the monks of Egypt; Melania hid some in the salt of the abba Hephaestion, who ran after her and threw it into the river, and the fathers of Nitria and the Cells received her as a man. Back on the Mount of Olives she shut herself in a cell in sackcloth and ashes.

34 Ποιήσαντες δὲ ἐν τῇ Ἀφρικῇ ἔτη ἑπτὰ καὶ ἀποθέμενοι
having-spent and in — Africa years seven and having-laid-aside
πάντα τὸν φόρτον τοῦ πλούτου, ὕστερον ἐπὶ τὰ Ἱεροσόλυμα
all the burden of-the wealth later for — Jerusalem
ὥρμησαν. Γέγονεν γὰρ αὐτοῖς πόθος τῆς προσκυνήσεως
they-set-out arose for in-them (a)-longing for-the veneration
τῶν ἁγίων τόπων. Καὶ πλεύσαντες ἀπὸ Ἀφρικῆς ἐπὶ
of-the holy places and having-sailed from Africa to
τὴν Ἀνατολὴν καταλαμβάνουσιν τὴν Ἀλεξάνδρειαν· καὶ
the East they-reach — Alexandria and
ὑποδέχεται αὐτοὺς ὁ ἁγιώτατος ἐπίσκοπος Κύριλλος ἀξίως
receives them the most-holy bishop Cyril worthily
τῆς αὐτοῦ ἁγιωσύνης. Ἐν δὲ τῷ καιρῷ ἐκείνῳ συνέβη
of-the his holiness at and the time that it-happened
τὸν ἅγιον ἀββᾶν Νεσθορόου, ἄνδρα προφητικὸν χάρισμα
the holy abba Nestheros (a)-man prophetic gift
κεκτημένον, ἐν τῇ πόλει παρεῖναι· καὶ γὰρ εἰώθει ὁ
having in the city to-be-present and for was-accustomed the
ἅγιος οὗτος ἅπαξ τοῦ ἐνιαυτοῦ παραγενέσθαι ἐν τῇ
holy(-man) this once in-the year to-come into the
πόλει χάριν θεραπείας τῶν ἀσθενούντων· ἐκέκτητο γὰρ
city for-the-sake-of (the)-healing of-the sick he-possessed for

παρὰ τοῦ Κυρίου καὶ τοῦτο τὸ χάρισμα, ὥστε ἀπαλλάσσειν
from the Lord also this the gift so-as to-free
τοὺς προσιόντας ἀπὸ διαφόρων νόσων, ἔλαιον εὐλογημένον
those approaching from various diseases oil blessed
παρέχων. Ὡς δὲ ἤκουσαν περὶ αὐτοῦ οἱ μακάριοι, φιλάγιοι
providing when and heard about him the blessed(-ones) lovers-of-saints
ὄντες σφόδρα, ὥρμησαν εὐθέως ἐπὶ τὴν ψυχωφελῆ αὐτοῦ
being greatly they-set-out at-once for the soul-profiting his
συντυχίαν· καὶ διὰ τὸ πολὺ πλῆθος καὶ ἄφατον πρὸς
meeting and because-of the great crowd and unspeakable to
αὐτὸν εἰσιέναι διεσπάρησαν ἀπ᾽ ἀλλήλων. Καὶ εἰσελθὼν
him to-go-in were-scattered from one-another and having-entered
πρῶτος σὺν τῷ ἀπείρῳ ὄχλῳ ὁ μακαριώτατος αὐτῆς
first with the boundless crowd the most-blessed her
ἀδελφός, ἠπείγετο εὐλογεῖσθαι ὡς ἐξιέναι. Ὁ δὲ ἅγιος
brother hastened to-be-blessed so-as to-go-out the and holy(-man)
ἀτενίσας αὐτῷ τοῖς πνευματικοῖς αὐτοῦ ὀφθαλμοῖς, ἐπέγνω
having-gazed at-him with-the spiritual his eyes recognized
τὸ τῆς ψυχῆς αὐτοῦ κάλλος καὶ κρατήσας αὐτὸν ἔστησεν
the of-the soul his beauty and having-taken-hold-of him stood(-him)
μεθ᾽ ἑαυτοῦ. Καὶ μετὰ πολὺν ὄχλον εἰσῆλθεν καὶ ἡ δούλη
with himself and after (a)-great crowd entered also the handmaid
τοῦ Χριστοῦ Μελάνη. Ὁ δὲ καὶ ταύτην περιβλεψάμενος
— of-Christ Melania he and also her having-looked-around-at
καὶ ἐπιγνοὺς τῷ νοερῷ ὄμματι, ἔστησεν σὺν τῷ
and having-recognized with-the spiritual eye stood(-her) with the
αὐτῆς ἀδελφῷ. Καὶ οὕτως τρίτην εἰσελθοῦσαν τὴν ἁγίαν
her brother and so third having-entered the holy
αὐτῆς μητέρα κατασχὼν σὺν τοῖς δυσὶν ἔστησεν. Καὶ
her mother having-detained with the two(-of-them) he-stood(-her) and
μετὰ τὸ ἀπολῦσαι πάντα τὸν ὄχλον, λοιπὸν διὰ τοῦ
after the to-dismiss all the crowd further through the

λόγου τῆς παρακλήσεως καὶ τῆς προφητείας ἤρξατο
word of-the exhortation and of-the prophecy he-began
αὐτοῖς διηγεῖσθαι πρῶτος, ὅσας ὑπέμειναν θλίψεις ἐν τῇ
to-them to-relate first how-many they-endured afflictions in the
ἀποταγῇ κατὰ διαφόρους τρόπους, καὶ νουθετῶν αὐτοὺς
renunciation in various ways and admonishing them
ὡς ἴδια τέκνα παρεκάλει μὴ ἀθυμεῖν, διότι τὸ τέλος
as own children besought not to-lose-heart because the end
τῶν θλίψεων ἀνεκλάλητον ἔχει τὴν εὐφροσύνην· οὐκ ἄξια
of-the afflictions unspeakable has the joy not worthy
γάρ, φησίν, τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν
for he-says the sufferings of-the now time compared-with the
μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.
to-be glory to-be-revealed to us
35 Παρακληθέντες οὖν οὐ μετρίως καὶ τὸν Θεὸν ἐπὶ πλεῖον
having-been-exhorted then not moderately and — God for more
δοξάσαντες, ἔπλευσαν ἐπὶ τὰ Ἱεροσόλυμα, ἔνθα καὶ
having-glorified they-sailed to — Jerusalem where also
ἔσπευδον· καὶ μείναντες ἐν τῇ ἁγίᾳ Ἀναστάσει, τὸ
they-were-hastening and having-remained in the holy Anastasis the
ὑπολειφθὲν αὐτοῖς χρυσίον μὴ βουλόμενοι ταῖς οἰκείαις
left-over to-them gold not wishing with-the own
χερσὶν διανεῖμαι, παρέσχον τοῖς τὴν οἰκονομίαν τῶν
hands to-distribute they-gave to-those the management of-the
πτωχῶν ἐμπεπιστευμένοις· οὐδὲ γὰρ ὀφθῆναι παρά
poor having-been-entrusted-with not-even for to-be-seen by
τινων ἀγαθοεργοῦντες ἐβούλοντο. Εἰς τοσαύτην δὲ
any doing-good they-wished to so-great and
ἤλασαν ἀκτημοσύνην, ὥστε διαβεβαιοῦσθαι ἡμῖν τὴν
they-drove poverty so-that to-affirm to-us the
μακαρίαν ὅτι· «Ἐν ἀρχῇ τοῦ παραγενέσθαι ἡμᾶς
blessed(-woman) that in (the)-beginning of-the to-arrive us

ἐνταῦθα τοῦτον εἴχομεν τὸν λογισμὸν γραφῆναι ἐν τῷ
here this we-had the thought to-be-written in the
ἐκκλησιαστικῷ βρεβίῳ καὶ μετὰ τῶν πτωχῶν ἐκ τῆς
ecclesiastical register and with the poor from the
ἐντολῆς διατρέφεσθαι.» Οὕτως κατ' ἄκρον ἐπτώχευσαν
alms to-be-fed so to (the)-utmost they-became-poor
διὰ τὸν ὑπὲρ ἡμῶν πτωχεύσαντα Κύριον καὶ μορφὴν
because-of the for us having-become-poor Lord and (the)-form
δούλου λαβόντα. Συνέβη δὲ αὐτῇ ἀσθενῆσαι πρώτως ἐν
of-(a)-slave having-taken it-happened and her to-be-ill first in
Ἱεροσολύμοις· καὶ μὴ ἐχούσῃ ποῦ καθευδήσει πλὴν τῶν
Jerusalem and not having where she-would-sleep except the
σακκίων, παρθένος τις τῶν εὐγενεστάτων προσκεφάλαιον
sackcloths (a)-virgin certain of-the most-noble (a)-pillow
αὐτῇ ἐχαρίσατο. Ὑγιάνασα πάλιν τῇ ἀναγνώσει καὶ τῇ
to-her gave having-recovered again to-the reading and to-the
προσευχῇ ἐσχόλαζεν, λειτουργοῦσα εἰλικρινῶς τῷ Κυρίῳ.
prayer she-devoted-herself serving sincerely the Lord
Μόνη οὖν σὺν τῇ ἰδίᾳ μητρὶ τὴν οἴκησιν ἔχουσα καὶ 36
alone then with the own mother the dwelling having and
μὴ ταχέως τινὶ συντυγχάνουσα πλὴν τῶν ἁγίων
not readily with-anyone meeting except the holy
καὶ σφόδρα ἐπισήμων ἐπισκόπων, μάλιστα τῶν ἐν τῷ
and very notable bishops especially those in the
λόγῳ διαλαμπόντων, ἵνα καὶ αὐτὸν τὸν καιρὸν τῆς
word shining that even itself the time of-the
συντυχίας εἰς ἐρώτησιν θείων λογίων ἀναλώσῃ. Ἔγραφεν
meeting for questioning of-divine oracles she-might-spend she-wrote
δέ, καθὼς προείπαμεν, ἐν σωματίοις καὶ ἐνήστευεν τὰς
and as we-said-before in notebooks and fasted the
ἑβδομάδας· καθ' ἑσπέραν δὲ μετὰ τὸ κλεισθῆναι τὴν
weeks at evening and after the to-be-shut the

ἁγίαν Ἀνάστασιν παρέμενεν τῷ Σταυρῷ, μέχρις ὅτε
holy Anastasis she-remained by-the Cross until when
εἰσήρχοντο οἱ ψάλλοντες, καὶ τότε ἀπερχομένη ἐν τῷ
entered those chanting and then going-away in the
κελλίῳ αὐτῆς ἐκάθευδεν ὀλίγον.
cell her slept (a)-little

37 Καὶ ἐπειδὴ διὰ τὴν ἔφοδον τῶν βαρβάρων ἅπαντα αὐτῶν
and since because-of the invasion of-the barbarians all their
τὰ χωρία ἀποδόσθαι οὐκ ἠδυνήθησαν, ἀλλὰ κατέλειπον
the estates to-sell not they-could but they-left
ὀλίγα ἐξ αὐτῶν ἄπρατα, πιστός τις, οὗ ὁ Θεὸς
(a)-few of them unsold (a)-faithful(-man) certain whose — God
κατένυξεν τὴν καρδίαν, ἠδυνήθη μέρος τι ἐξ αὐτῶν πωλῆσαι
pricked the heart was-able part some of them to-sell
ἐν τοῖς εἰρηνεύουσιν μέρεσιν τῆς Σπανίας καὶ συναναγαγὼν
in the peaceful parts — of-Spain and having-collected
ἐξ αὐτῶν ὀλίγον χρυσίον ἐκόμισεν αὐτὸ τοῖς μακαρίοις ἐν
from them (a)-little gold brought it to-the blessed(-ones) in
Ἱεροσολύμοις. Ἡ δὲ ὡς ἐκ στόματος τοῦ λέοντος τοῦτο
Jerusalem she and as from (the)-mouth of-the lion this
ἁρπάσασα, ἀφιέρωσεν αὐτὰ τῷ Θεῷ, φήσασα πρὸς τὸν
having-snatched dedicated them — to-God having-said to the
πνευματικὸν αὐτῆς ἀδελφὸν ἐν Κυρίῳ· «Ἀπελθόντες εἰς
spiritual her brother in (the)-Lord having-gone-away to
Αἴγυπτον ἱστορήσωμεν τοὺς ἁγίους.» Ὁ δὲ ἄοκνος ὢν
Egypt let-us-visit the saints he and unhesitating being
περὶ τὰ τοιαῦτα ἔργα χαίρων ὑπήκουσεν αὐτῇ ὡς ἀληθῶς
about the such works rejoicing obeyed her as truly
ἀγαθῷ διδασκάλῳ. Μέλλουσα δὲ ἐξιέναι ἐπὶ ταύτην τὴν
(a)-good teacher being-about and to-go-out on this the
πνευματικὴν ἐμπορίαν, παρεκάλεσεν τὴν ἁγίαν αὐτῆς
spiritual trading she-besought the holy her

μητέρα, ὅπως περὶ τὸ ὄρος τῶν ἐλαιῶν οἰκοδομήσῃ αὐτῇ
mother that about the mount of-the olives she-would-build for-her
κελλίον, ἔσωθεν ἀπὸ σανίδων, ἵνα φανερὸν χρόνον ἐν αὐτῷ
(a)-cell within of planks that (a)-set time in it
ἡσυχάζῃ. Καὶ καταλαβόντες τὴν Αἴγυπτον, περιῆγον τὰ
she-might-be-still and having-reached — Egypt they-went-round the
κελλία τῶν ἁγίων μοναχῶν καὶ τῶν πιστοτάτων παρθένων,
cells of-the holy monks and of-the most-faithful virgins
ὡς σοφοὶ ἀληθῶς οἰκονόμοι κατὰ τὸ γεγραμμένον
as wise truly stewards according-to the written(-word)
χορηγοῦντες ἑκάστῳ τὰ πρὸς τὴν χρείαν.
supplying to-each the(-things) for the need
Ἐν οἷς καταλαβόντες τὴν κέλλαν ἁγίου ἀνδρὸς ἀββᾶ 38
among which(-cells) having-reached the cell of-(a)-holy man abba
Ἐφεστίωνος οὕτως καλουμένου, παρεκάλουν δέξασθαι ἐκ
Hephaestion so called they-besought(-him) to-accept from
τῆς χειρὸς αὐτῶν ὀλίγον χρυσίον. Ὁ δὲ ὡς διεβεβαιοῦτο
the hand their (a)-little gold he and as affirmed
σφοδρῶς μηδ' ὅλως τοῦτο ποιῆσαι, περιήρχετο ἡ μακαρία
strongly not at-all this to-do went-around the blessed(-woman)
τὴν κέλλαν τοῦ ἁγίου, ἐρευνῶσα αὐτοῦ τὰ σκεύη· καὶ
the cell of-the holy(-man) searching his the vessels and
μηδὲν εὑροῦσα αὐτὸν κεκτημένον ἐπὶ τῆς γῆς, εἰ μὴ μόνον
nothing having-found him possessing on the earth if not only
ψιάθιον καὶ σπυρίδα ἔχουσαν ὀλίγους παξαμάτας ξηροὺς
(a)-small-mat and (a)-basket having few biscuits dry
καὶ καμψίον μικρὸν ἅλατος, καὶ πάνυ κατανυγεῖσα ἐπὶ τῷ
and (a)-little-box small of-salt and very pricked-to-the-heart at the
τοῦ θείου αὐτῆς, ὅτι κινδυνεύει τελευτῆσαι κατηχούμενος.
the uncle her that he-is-in-danger to-die (a)-catechumen
55 Καὶ γίνεται αὐτῇ ἡ λύπη τῆς ἀγγελίας ταύτης χείρων
and becomes to-her the grief of-the news this worse
τοῦ πάθους καὶ τῶν ἀλγηδόνων. Ἔλεγεν δὲ πρὸς ἡμᾶς·
than-the suffering and the pains she-said and to us
«Λάβετέ με πρὸς αὐτόν, πρὶν ἢ τελευτήσω.» Ἡμῶν δὲ
take me to him before than I-die we and
δεδοικότων κἂν ὅλως ἅψασθαι αὐτῆς διὰ τὸ εἶναι τὸν
fearing even at-all to-touch her because-of the to-be the
πόδα αὐτῆς καθάπερ ξηρὸν ξύλον, αὐτὴ ἐνέκειτο λέγουσα·
foot her like dry wood she insisted saying
«Ἀποκομίσατέ με πρὸς τὸν θεῖόν μου· εἰ δὲ μή γε,
carry me to the uncle my if but not at-least
χειρότερον ἐκ τῆς θλίψεως ταύτης κινδυνεύω.» Ὅθεν
worse from the affliction this I-am-in-danger whence
κατὰ τὴν κέλευσιν αὐτῆς ἐνέγκαντες λεκτίκιον, μετὰ
according-to the bidding her having-brought (a)-litter with
πολλοῦ κόπου ἐθήκαμεν αὐτὴν ἐν αὐτῷ. Καὶ προφθάσας
much toil we-put her in it and having-gone-ahead
ἐγὼ ἐν τῷ παλατίῳ, ἐπυνθανόμην, πῶς ἔχει ὁ ἀπὸ
I to the palace inquired how is the(-former) of
ἐπάρχων. Καὶ ἀποκρίνονταί μοί τινες τῶν γνωρίμων, ὅτι
prefects and answer me some of-the acquaintances that
χθὲς ἐπεζήτησεν τὴν ἁγίαν καὶ μαθὼν περὶ αὐτῆς,
yesterday he-sought the holy(-woman) and having-learned about her

ὅτι ἀρρωστεῖ σφοδροτάτως, ἐκάλεσεν τὴν τροφὸν τῆς
that she-is-ill most-severely he-called the nurse of-the
εὐσεβεστάτης βασιλίδος Εὐδοξίας, τὴν κυρίαν Ἐλευθερίαν,
most-pious queen Eudoxia the lady Eleutheria
καὶ σὺν Θεῷ ἐφωτίσθη. Ἐγὼ δὲ ταῦτα ἀκούσας καὶ
and with God he-was-illumined I and these-things having-heard and
εὔθυμος ἐν Κυρίῳ γενόμενος, ἀπέστειλα ἔφιππον διὰ τάχους,
cheerful in (the)-Lord having-become sent (a)-horseman with speed
ἵνα ταῦτα τῇ μακαρίᾳ εὐαγγελίσηται. Ἡ δὲ ὡς ἀκήκοεν,
that these-things to-the blessed(-woman) he-might-announce she and when she-heard
ὅτι ἐβαπτίσθη ὁ θεῖος αὐτῆς, ἐκ τῆς πολλῆς εὐφροσύνης
that was-baptized the uncle her from the much joy
ἀπόνως τὸν πόδα ἐκίνησεν. Καὶ ὁ διάβολος αἰσχυνθεὶς
painlessly the foot moved and the devil having-been-ashamed
αὐτῇ τῇ ὥρᾳ ἀνεχώρησεν καὶ σὺν αὐτῷ πᾶσαι αὐτοῦ αἱ
in-that-very the hour withdrew and with him all his the
ὀδύναι ἀπὸ τῆς μακαρίας παντελῶς ἐξέλιπον, ὥστε τὴν
pains from the blessed(-woman) utterly failed so-that the(-woman)
μὴ δυναμένην βασταχθῆναι δι᾽ ἑαυτῆς ἀνελθεῖν ἅπαντας
not being-able to-be-carried by herself to-go-up all
τοὺς βαθμοὺς καὶ διὰ τῆς παραθύρου τῆς ἐν τῷ
the steps and through the side-door of-the(-door) in the
παλατίῳ εἰσελθεῖν εἰς τὸν οἶκον τῆς φιλοχρίστου βασιλίδος
palace to-enter into the house of-the Christ-loving queen
Εὐδοξίας καὶ πάντας καταπλαγέντας δοξάσαι τὸν Κύριον
Eudoxia and all astounded to-glorify the Lord
ἐπὶ τῇ ἥττῃ τοῦ ἐχθροῦ τῆς σωτηρίας ἡμῶν. Αὐτὴ δὲ
at the defeat of-the enemy of-the salvation our she and
καθίσασα ὅλην τὴν νύκτα παρὰ τὴν κλίνην τοῦ θείου αὐτῆς
having-sat all the night by the bed of-the uncle her
παρεκάλει αὐτὸν λέγουσα ταῦτα· «Μακάριος εἶ ἀληθῶς,
exhorted him saying these-things blessed you-are truly

κύριε, ὅτι καὶ ἐν τῷ αἰῶνι τούτῳ ἱκανῶς ἐδοξάσθης καὶ
lord that both in the age this sufficiently you-were-glorified and
ἐν τῷ μέλλοντι πορεύει πρὸς τὸν Κύριον δεδικαιωμένος ἐν
in the coming(-age) you-go to the Lord justified in
τῷ δέξασθαί σε τὸ λουτρὸν τῆς ἀφθαρσίας.» Καὶ ποιήσασα
the to-receive you the bath of-the incorruption and having-made
αὐτὸν μεταλαβεῖν τρίτον τῶν ἁγίων μυστηρίων, τῇ
him to-partake (a)-third(-time) of-the holy mysteries on-the
ἕωθεν, τῆς ἑορτῆς οὔσης τῶν ἁγίων θεοφανίων, χαίρουσα
morning of-the feast being of-the holy Theophany rejoicing
προέπεμψεν αὐτὸν ἐν εἰρήνῃ πρὸς τὸν Κύριον· καὶ πάντων
she-sent-forth him in peace to the Lord and all
εὐχαριστούντων τῷ ποιήσαντι μεγάλα θαυμάσια, ἔλεγεν
giving-thanks to-the(-one) having-done great wonders said
ἡ μακαρία δοξάζουσα τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν
the blessed(-woman) glorifying the unspeakable his love-for-man
ὅτι· «Πόσον μέλει καὶ περὶ μιᾶς ψυχῆς τῇ αὐτοῦ
that how-much (there-is)-care even for one soul to-the his
ἀγαθότητι, ἵνα καὶ αὐτὸν ἀπὸ τῆς Ῥώμης ἐλθεῖν ἐνταῦθα
goodness that also him from — Rome to-come here
παρασκευάσῃ καὶ ἡμᾶς ἀπὸ Ἱεροσολύμων κινήσῃ, ὅπως
he-should-arrange and us from Jerusalem should-move that
σωθῇ ψυχὴ ζήσασα ἐν ἀγνωσίᾳ τὸν ἅπαντα χρόνον.»
might-be-saved (a)-soul having-lived in ignorance the whole time

She returned through a terrible winter to keep Easter in Jerusalem and built a shrine where the Lord's feet had stood. She received the empress, prayed until her injured foot was healed, and cured a woman a demon had made mute and a mother whose child had died in the womb.

Ἐπιμείνασα δὲ ἐν Κωνσταντινουπόλει, μέχρις ὅτου ἐποίησεν 56
having-remained and in Constantinople until when she-held
αὐτοῦ τὰ τεσσαρακοστά, ὑπερβαλλόντως ὠφέλησεν πάντας
his the fortieth-day(-rites) exceedingly she-benefited all
τοὺς ἐκεῖσε, ἐξαιρέτως δὲ τὰς φιλοχρίστους βασιλίδας·
those there especially and the Christ-loving queens
ᾠκοδόμησεν δὲ καὶ τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον.
she-edified and also the most-pious emperor Theodosius
Καὶ παρακαλέσασα αὐτόν, ὅπως ἀπολύσῃ τὴν σύζυγον
and having-besought him that he-might-release the consort
αὐτοῦ ἐπιθυμίαν ἔχουσαν προσκυνῆσαι τοὺς ἁγίους τόπους,
his desire having to-venerate the holy places
ἐν τῷ τέλει τοῦ φεβρουαρίου μηνὸς ἐξήλθομεν ἐκεῖθεν.
at the end of-the February month we-went-out from-there
Ἐν δὲ τῷ καιρῷ ἐκείνῳ τοιοῦτος χειμὼν σφοδρότατος
at and the time that such (a)-storm most-violent
γέγονεν, ὥστε διομνύεσθαι τοὺς Γαλατίας καὶ Καππαδοκίας
came-about so-that to-swear the of-Galatia and Cappadocia
ἐπισκόπους μηδέποτε ἑωρακέναι τοιοῦτον χειμῶνα. Ἡμεῖς
bishops never to-have-seen such (a)-storm we
δὲ δι' ὅλης χιονιζόμενοι τῆς ἡμέρας ἀνενδότως τὴν
and through whole being-snowed-on the day unremittingly the
πορείαν ἐποιούμεθα, οὔτε γῆν οὔτε ὄρος βλέποντες πλὴν
journey made neither land nor mountain seeing except

τῶν πανδοχείων, ἐν οἷς κατελύομεν ἑσπέρας. Αὐτὴ δὲ
the inns in which we-lodged at-evening she and
ὡς ἀδάμας οὐδὲ ὅλως ὑπενεδίδου τῇ νηστείᾳ λέγουσα
as (an)-adamant not-even at-all gave-way in-the fasting saying
ὅτι· «Νῦν πλέον ὤφειλον πονῆσαι καὶ τῷ δεσπότῃ
that now more I-ought to-toil and to-the master
τῶν ὅλων Θεῷ εὐχαριστῆσαι ἀνθ' ὧν ἐποίησεν μετ'
of-the all God to-give-thanks because-of which he-did with
ἐμοῦ μεγάλα θαυμάσια.» Καὶ τῇ ἀδιαλείπτῳ αὐτῆς εὐχῇ
me great wonders and to-the unceasing her prayer
προσκαρτεροῦσα, οὔτε ἑαυτὴν οὔτε ἡμᾶς ἀηδές τι
persevering neither herself nor us unpleasant anything
παθεῖν συνεχώρησεν ἐν ἐκείνῳ τῷ χαλεπωτάτῳ κρύει,
to-suffer allowed in that the most-severe cold
δεικνύουσα, ὅτι μέγιστόν ἐστιν ὅπλον ἡ δέησις δικαίου
showing that greatest is weapon the prayer of-(a)-righteous(-one)
ἐνεργουμένη καὶ αὐτῶν περιγενομένη στοιχείων. Πάντων
working and very prevailing-over elements all
δὲ τῶν ἁγίων κατέχειν ἡμᾶς κατὰ τὴν ὁδὸν πειρωμένων,
and the saints to-detain us on the road trying
αὐτὴ τούτων μὲν οὐδενὶ ἐπείθετο, μίαν δὲ ἐπιθυμίαν
she of-these indeed with-no-one complied one but desire
εἶχεν τὸ πάθος τοῦ Κυρίου ἐν Ἱεροσολύμοις ἐπιτελέσαι·
she-had the passion of-the Lord in Jerusalem to-celebrate
ὅπερ αὐτῇ ὁ Θεὸς ἐχαρίσατο κατὰ τὴν ἀψευδῆ αὐτοῦ
which to-her — God granted according-to the unlying his
ἐπαγγελίαν τὴν λέγουσαν διὰ τοῦ ἁγιωτάτου αὐτοῦ
promise the(-one) saying through the most-holy his
προφήτου· «Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ
prophet (the)-will of-those fearing him he-will-do and
τῆς δεήσεως αὐτῶν εἰσακούσεται.» Καὶ παρεγενάμεθα
the prayer their he-will-hear and we-arrived

εἰς τοὺς ἁγίους τόπους τῇ τρίτῃ τῆς ἑβδομάδος πρὸ
at the holy places on-the third(-day) of-the week before
τοῦ σωτηρίου πάθους. Καὶ μετὰ πολλῆς εὐφροσύνης τὸ
the saving passion and with much joy the
πάσχα καὶ τὴν ἁγίαν ἀνάστασιν ταῖς ἰδίαις ἀδελφαῖς
Pascha and the holy resurrection with-the own sisters
πνευματικῶς ἑορτάσασα, πάλιν τοῦ συνήθους κανόνος
spiritually having-celebrated again the customary rule
ἀντείχετο, ἐπιμελουμένη ἀμφοτέρων τῶν μοναστηρίων·
she-held-to taking-care-of both the monasteries
θεωρήσασα δὲ καλῶς ἐπιτελουμένην τὴν ψαλμῳδίαν ἐν τῇ
having-seen and well being-performed the psalmody in the
ἐκκλησίᾳ ὑπὸ τῶν θεοφιλεστάτων μοναχῶν, ἕτερος θεῖος
church by the most-God-beloved monks another divine
αὐτὴν ὑπεισέρχεται πόθος καὶ βουλεύεται μαρτύριον μικρὸν
her steals-into longing and she-plans (a)-shrine small
οἰκοδομῆσαι, λέγουσα πρὸς τὴν ἐμὴν ἐλεεινότητα· «Οὗτός
to-build saying to the my wretchedness this
ἐστιν ὁ τόπος, ἐν ᾧ ἔστησαν οἱ πόδες τοῦ Κυρίου·
is the place in which stood the feet of-the Lord
κτίσωμεν οὖν ἐνταῦθα σεμνὸν εὐκτήριον, ἵνα μετὰ τὴν ἐμὴν
let-us-build then here (a)-venerable oratory that after the my
ἐκ τοῦ κόσμου τούτου πρὸς Κύριον ἐκδημίαν ἡ προσφορὰ
from the world this to (the)-Lord departure the offering
ὑπὲρ τῆς ἐμῆς ψυχῆς καὶ τῶν ἐμῶν κυρίων ἀδιαλείπτως
for the my soul and of-the my lords unceasingly
μέλλει καὶ ἐν τῷ τόπῳ τούτῳ ἐπιτελεῖσθαι.» Καὶ ἐπειδὴ
is-to also in the place this be-performed and since
πᾶν θέλημα αὐτῆς καὶ πᾶσα ἐπιθυμία τὸν τῶν ὅλων Θεὸν
every will her and every desire the of-the all God

ἀνέπαυεν, ἐν ὀλίγαις ἡμέραις ἐτελέσθη τὸ ἔργον. Ἔνθα
refreshed in few days was-completed the work where
πάλιν ἑτέρους ὁσίους ἄνδρας συναγαγοῦσα κατῴκισεν.
again other holy men having-gathered she-settled

57 Τούτου δὲ γενομένου, ἐμηνύθη τὴν εὐσεβεστάτην
this and having-happened it-was-announced the most-pious
βασίλισσαν παραγίνεσθαι ἐν Ἱεροσολύμοις καὶ ὅτι ἤδη
queen to-be-arriving in Jerusalem and that already
τὴν Ἀντιοχέων κατέλαβεν πόλιν· ὅθεν διελογίζετο ἐν
the of-(the)-Antiochenes she-had-reached city whence she-considered in
ἑαυτῇ, τί ἄρα ποιήσασα καὶ τὸν Θεὸν δοξάσει καὶ
herself what then having-done both — God she-will-glorify and
τοὺς ἀνθρώπους ὠφελήσει. Καὶ ἔλεγεν· «Ἐὰν ἀπέλθω εἰς
the men will-benefit and she-said if I-go-away to
ἀπάντησιν αὐτῆς, δέδοικα μὴ ψόγον ἐνέγκω, τῷ ταπεινῷ
(the)-meeting her I-fear lest blame I-bring on-the humble
σχήματι τούτῳ πόλεις περιερχομένη· εἰ δὲ πάλιν
guise this cities going-around if but on-the-other-hand
μείνω, εὐλαβοῦμαι, μὴ ὑπερηφανία ἡμῖν νομισθείη τοῦτο
I-remain I-am-wary lest pride for-us might-be-thought this
τὸ πρᾶγμα.» Διὸ ὕστερον χρησαμένη τῷ εὐσεβεῖ
the matter therefore later having-used the pious
ἐπιλογισμῷ, ἐξῆλθεν φήσασα ὅτι· «Ἡμῖν πρέπει τοῖς
reflection she-went-out having-said that for-us it-befits the(-ones)
τὸν ζυγὸν τοῦ Χριστοῦ ἐπανῃρημένοις, εἴπερ ὑπήρχομεν
the yoke — of-Christ having-taken-up if-indeed we-were
ἱκανοί, τοιαύτην πιστὴν βασιλίδα εἰς τοὺς οἰκείους ὤμους
able such (a)-faithful queen on the own shoulders
βαστάζειν, σεμνυνομένους ἐπὶ τῇ δυνάμει τοῦ Κυρίου,
to-carry priding-ourselves on the power of-the Lord
ὅτι ἐν ταῖς ἡμέραις ἡμῶν οὕτως φιλόχριστον βασίλισσαν
that in the days our so Christ-loving (a)-queen

ἔστησεν.» Ὅθεν ὑπήντησεν αὐτῇ ἐν Σιδῶνι, τὰς εὐχαριστίας
he-set-up whence she-met her in Sidon the thanks
ἀποτιννύουσα τῆς ὑπερβαλλούσης αὐτῆς ἀγάπης, ἧς
paying of-the exceeding her love which
ἐνεδείξατο εἰς αὐτὴν ἐν Κωνσταντινουπόλει. Καὶ ἔμεινεν
she-showed toward her in Constantinople and she-stayed
ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Φωκᾶ, ἔνθα λέγεται τὴν
in the shrine of-the holy Phocas where is-said the
οἴκησιν εἶναι τῆς πιστῆς Χαναναίας τῆς ἐν τῷ ἁγίῳ
dwelling to-be of-the faithful Canaanite(-woman) the(-one) in the holy
εὐαγγελίῳ πρὸς τὸν Κύριον εἰπούσης· «Ναὶ Κύριε· καὶ
gospel to the Lord having-said yes Lord even
γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων
for the little-dogs eat from the crumbs the(-ones) falling
ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν.» Οὕτως ἐσπούδαζεν
from the table of-the lords their so was-eager
ἡ μακαρία καὶ ἐν οἰκήσει καὶ ἐν ὁμιλίᾳ καὶ ἐν τῇ
the blessed(-woman) both in dwelling and in conversation and in the
ἄλλῃ πάσῃ διαγωγῇ τῷ Κυρίῳ ἀρέσκειν. Ὡς δὲ ἐθεάσατο
other all conduct the Lord to-please when and saw
αὐτὴν ἡ θεοφιλὴς βασίλισσα, μετὰ πάσης αἰδοῦς αὐτὴν
her the God-loving queen with all reverence her
ὑπεδέξατο, ὡς ἀληθῶς πνευματικὴν μητέρα· καὶ εἰκότως·
received as truly (a)-spiritual mother and fittingly
δόξα γὰρ ἦν αὐτῇ τὸ τιμῆσαι τὴν εἰλικρινῶς δοξάσασαν
glory for it-was to-her the to-honor the(-one) sincerely having-glorified
τὸν οὐράνιον βασιλέα. Ἡ δὲ ἁγία ἀποδεχομένη αὐτῆς
the heavenly king the and holy(-woman) welcoming her
τὴν πίστιν καὶ τὸν κόπον τῆς ὁδοιπορίας, παρεκάλει
the faith and the toil of-the journey exhorted
αὐτὴν ἔτι μᾶλλον προκόπτειν ἐν τῇ εὐποιΐᾳ. Ἡ δὲ εὐσεβὴς
her still more to-advance in the beneficence the and pious

βασίλισσα ἀξιομνημόνευτον πρὸς αὐτὴν ἀπεκρίνατο λόγον·
queen (a)-memorable to her answered word
«Διπλῆν εὐχὴν ἀποδίδωμι τῷ Κυρίῳ, τό τε προσκυνῆσαι
(a)-double vow I-pay to-the Lord the both to-venerate
τοὺς ἁγίους τόπους καὶ τὸ θεάσασθαι τὴν ἐμὴν μητέρα·
the holy places and the to-see the my mother
ἐπεθύμησα γάρ, ἕως ἔτι ἐν σαρκὶ δουλεύεις τῷ Κυρίῳ,
I-desired for while still in flesh you-serve the Lord
ἀξιωθῆναι τῆς σῆς ἁγιωσύνης.» Δι' ὑπερβολὴν δὲ
to-be-deemed-worthy of-the your holiness because-of excess and
πνευματικῆς ἀγάπης ἐσπούδασεν ἡ φιλόχριστος βασίλισσα
of-spiritual love was-eager the Christ-loving queen
καταλαβεῖν τὸ μοναστήριον τῆς ἁγίας· καὶ εἰσελθοῦσα
to-reach the monastery of-the holy(-woman) and having-entered
οὕτως ἐθεάσατο τὰς παρθένους, ὡς ἰδίας ἀδελφάς· καὶ
so she-regarded the virgins as own sisters and
πάνυ ὠφεληθεῖσα ἐπεθύμησεν καὶ εἰς τὸ μοναστήριον τῶν
greatly having-been-benefited she-desired also into the monastery of-the
ἀνδρῶν εἰσελθεῖν καὶ εὐλογηθῆναι. Ἤμελλεν δὲ γίνεσθαι ἡ
men to-enter and to-be-blessed was-about and to-take-place the
κατάθεσις τῶν ἁγίων λειψάνων ἐν τῷ νεωστὶ ὑπ' αὐτῆς
deposition of-the holy relics in the newly by her
κτισθέντι μαρτυρίῳ, ὡς ἀνωτέρω εἰρήκαμεν. Καὶ παρακαλεῖ
built shrine as above we-have-said and beseeches
ἡ βασίλισσα, ἵνα παρούσης αὐτῆς γένηται ἡ ἑορτή.
the queen that being-present her may-take-place the feast
58 Ὁ δὲ μισόκαλος πάλιν φθονήσας τῇ τοσαύτῃ πνευματικῇ
the but good-hating(-one) again having-envied the so-great spiritual
ἀγάπῃ, παρεσκεύασεν ἐν αὐτῇ τῇ καταθέσει τῶν ἁγίων
love arranged in very the deposition of-the holy
λειψάνων ὀκλάσαι τὸν πόδα τῆς βασιλίδος καὶ γενέσθαι ἐκ
relics to-give-way the foot of-the queen and to-arise from

τούτου θόρυβον οὐ τὸν τυχόντα. Ἴσως δὲ τοῦτο συνέβη
this (a)-commotion not the chance(-one) perhaps and this happened
εἰς γυμνάσιον τῆς πίστεως τῆς ἁγίας· ἥτις κατὰ ταύτην
for (an)-exercise of-the faith of-the holy(-woman) who at this
τὴν ὥραν προπέμψασα αὐτὴν ἐν τῇ ἁγίᾳ Ἀναστάσει,
the hour having-escorted her into the holy Anastasis
παρακαθεσθεῖσα εἰς τὰ λείψανα τῶν ἁγίων μαρτύρων οὐ
having-sat-down by the relics of-the holy martyrs not
πρότερον ἀπέστη αὐτῶν δεομένη ἐκτενῶς ἐν πολλῷ πένθει
before departed from-them praying earnestly in much mourning
καὶ νηστείᾳ σὺν ταῖς παρθένοις, ἕως οὗ μετεστείλατο αὐτὴν
and fasting with the virgins until when summoned her
ἡ βασίλισσα παυσαμένης τῆς ἀλγηδόνος· βελτιωθείσης δὲ
the queen having-ceased the pain having-been-improved and
αὐτῆς τοῦ πόνου, ἡ μακαρία οὐκ ἐπαύετο μαχομένη πρὸς
she of-the pain the blessed(-woman) not ceased fighting against
τὸν διάβολον τὸν βουληθέντα τοιοῦτον σκάνδαλον ἐν
the devil the(-one) having-wished such (a)-stumbling-block among
αὐταῖς ποιῆσαι. Διατρίψασα δὲ σὺν αὐτῇ ἡμέρας ὀλίγας
them to-make having-spent and with her days few
καὶ ὠφελήσασα αὐτὴν οὐ μετρίως, προέπεμψεν αὐτὴν
and having-benefited her not moderately she-escorted her
ἕως Καισαρείας. Καὶ μόλις ἴσχυσαν ἀποσπασθῆναι
as-far-as Caesarea and hardly they-were-able to-be-torn-away
ἀπ᾽ ἀλλήλων· ἦσαν γὰρ τῇ πνευματικῇ ἀγάπῃ σφόδρα
from one-another they-were for in-the spiritual love greatly
συγκεκολλημέναι. Ὑποστρέψασα δὲ ἡ ἁγία ἔδωκεν
joined-together having-returned and the holy(-woman) gave
πάλιν ἑαυτὴν εἰς ἄσκησιν, δεομένη ὅπως μέχρι τέλους
again herself to asceticism praying that until (the)-end

ἀποκατασταθῇ ἡ εὐσεβὴς βασίλισσα ἐρρωμένη τῷ ἑαυτῆς
may-be-restored the pious queen in-good-health to-the her-own
συζύγῳ· ὅπερ αὐτῇ ὁ τῶν ὅλων Θεὸς ἐχαρίσατο.
consort which to-her the of-the all God granted
59 Ὀλίγα δὲ ἐκ πολλῶν ὧν ἐποίησεν δι' αὐτῆς
few and out-of many of-which did through her
σημείων ὁ Κύριος ἐπιμνησθῆναι πειράσομαι· πάντα γὰρ
signs the Lord to-recall I-will-try all for
ἐξειπεῖν τοῦτο μὲν διὰ τὸ πλῆθος τοῦτο δὲ διὰ τὴν
to-tell this indeed because-of the multitude that and because-of the
προσοῦσάν μοι ἰδιωτείαν ἱκανῶς οὐχ ὑπάρχω. Ἐν μιᾷ
belonging to-me unskilledness sufficiently not I-am on one
τοίνυν τῶν ἡμερῶν γυνή τις νεωτέρα κατεσχέθη ὑπὸ
then of-the days (a)-woman certain younger was-seized by
δαίμονος σφόδρα πονηροτάτου· ἥτις τὸ στόμα σὺν τοῖς
(a)-demon very most-wicked who the mouth with the
χείλεσιν μύσασα ἐπὶ πολλὰς ἡμέρας οὔτε λαλῆσαι οὔτε
lips having-shut for many days neither to-speak nor
τροφῆς μεταλαβεῖν παντελῶς ἠδύνατο, ὥστε παρὰ βραχὺ
food to-partake-of at-all was-able so-that within little
κινδυνεῦσαι αὐτὴν ἐκ τοῦ λιμοῦ, πολλῶν ἰατρῶν φάρμακα
to-be-in-danger her from the hunger many physicians remedies
οὐκ ὀλίγα εἰς αὐτὴν ἀναλωσάντων καὶ μὴ δυνηθέντων
not few on her having-spent and not having-been-able
αὐτὴν ποιῆσαι κἂν ἁπλῶς τὰ χείλη κινῆσαι. Ὅτε δὲ ἐδείχθη
her to-make even simply the lips to-move when and was-shown
ἡ ἰατρικὴ τέχνη μὴ δυναμένη δαίμονος περιγενέσθαι, τότε
the medical art not able (a)-demon to-overcome then
λοιπὸν βαστάζαντες αὐτὴν ἀπεκόμισαν πρὸς τὴν ἁγίαν,
further having-carried her they-brought(-her) to the holy(-woman)
ἀκολουθούντων αὐτῇ τῶν γονέων. Ἡ δὲ μακαρία τὴν
following her the parents the and blessed(-woman) the

δόξαν τῶν ἀνθρώπων ἐκκλίνουσα ἔφη πρὸς αὐτούς· «Ἐγὼ
glory of-the men avoiding said to them I
μὲν ἁμαρτωλὴ τυγχάνουσα ἀδυνάτως ἔχω τοῦτο ποιῆσαι·
indeed (a)-sinner being unable am this to-do
ἀπενέγκωμεν δὲ αὐτὴν πρὸς τοὺς ἁγίους μάρτυρας, καὶ διὰ
let-us-carry-away but her to the holy martyrs and through
τῆς αὐτῶν παρρησίας ἰᾶται αὐτὴν ὁ φιλάνθρωπος Θεός.»
the their boldness heals her the man-loving God
Ὡς δὲ παρεγένοντο ἐκεῖσε, ἐκτενῶς ἡ ἁγία τὸν πάντων
when and they-arrived there earnestly the holy(-woman) the of-all
ἐπικαλεσαμένη δεσπότην καὶ λαβοῦσα τὸ ἁγιασθὲν ἔλαιον
having-invoked master and having-taken the sanctified oil
ἐκ τῶν λειψάνων τῶν ἁγίων μαρτύρων καὶ τούτῳ ἁψαμένη
from the relics of-the holy martyrs and with-this having-touched
τρίτον τοῦ στόματος τῆς καμνούσης, εἶπεν λαμπρᾷ τῇ φωνῇ·
three-times the mouth of-the sick(-woman) she-said with-clear the voice
«Ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἄνοιξον
in the name of-the lord our Jesus Christ open
τὸ στόμα σου.» Καὶ εὐθέως τῇ ἐπικλήσει τοῦ Κυρίου
the mouth your and at-once at-the invocation of-the Lord
ὁ δαίμων καταισχυνθεὶς μᾶλλον δὲ φοβηθεὶς ἀνεχώρησεν
the demon having-been-shamed rather but having-feared withdrew
καὶ ἤνοιξεν τὸ στόμα αὐτῆς ἡ γυνή· ἔδωκεν δὲ αὐτῇ ἡ
and opened the mouth her the woman gave and to-her the
ἁγία φαγεῖν καὶ πάντες οἱ ἰδόντες τὸν Θεὸν ἐδόξασαν·
holy(-woman) to-eat and all those having-seen — God glorified
καὶ ἰαθεῖσα ὑπέστρεψεν μετὰ πολλῆς εὐφροσύνης
and having-been-healed she-returned with much joy
εὐχαριστοῦσα τῷ Κυρίῳ. Ὁμοίως δὲ καὶ ἄλλην γυναῖκα
giving-thanks to-the Lord likewise and also another woman
τῷ αὐτῷ πάθει κατασχεθεῖσαν δι᾽ αὐτῆς ἐθεράπευσεν.
by-the same suffering seized through her he-healed

60 Ἄλλοτε δὲ πάλιν γυνὴ σφοδρῶς ἐδυστόκησεν καί, τοῦ
at-another-time and again (a)-woman severely had-a-difficult-labor and the
ἐμβρύου ἐν τῇ μήτρᾳ αὐτῆς τελευτήσαντος, οὔτε ζῆσαι οὔτε
fetus in the womb her having-died neither to-live nor
ἀποθανεῖν ἡ ἀθλία ἠδύνατο. Ὡς δὲ τοῦτο ἤκουσεν
to-die the wretched(-woman) could when and this heard
ἡ γνησία δούλη τοῦ Κυρίου, ὑπὸ τῆς συμπαθείας σφόδρα
the genuine handmaid of-the Lord by the compassion greatly
ὀδυνηθεῖσα καὶ τὴν γυναῖκα οἰκτειρήσασα, λέγει ταῖς
pained and the woman having-pitied says to-the
σὺν αὐτῇ παρθένοις· «Ἀπελθοῦσαι ἐπισκεψώμεθα τὴν
with her virgins having-gone-away let-us-visit the(-woman)
κινδυνεύουσαν, ὅπως θεωρήσασαι τὰς ἀλγηδόνας τῶν
in-danger that having-seen the pains of-those
ἐν τῷ κόσμῳ ἀναστρεφομένων κἂν οὕτως ἐπιγνῶμεν,
in the world living at-least so we-may-recognize
πόσων ἡμᾶς ταλαιπωριῶν ὁ Θεὸς ἐξείλατο.» Ὡς δὲ
from-how-many us troubles — God rescued when and
κατέλαβον τὸν οἶκον, ἔνθα ἡ γυνὴ ἐκινδύνευεν, ἐποίησεν
they-reached the house where the woman was-in-danger she-made
εὐχὴν καὶ εὐθέως ἡ κάμνουσα μόλις μικρᾷ τῇ φωνῇ
(a)-prayer and at-once the sick(-woman) hardly with-small the voice
ἔλεγεν πρὸς τὴν ἁγίαν· «Ἐλέησόν με.» Ἡ δὲ ἑστῶσα ἐπὶ
said to the holy(-woman) have-mercy-on me she and standing for
πολὺ τὸν Θεὸν ὑπὲρ αὐτῆς ἐκτενῶς ἱκέτευσεν καὶ λύσασα
long — God for her earnestly besought and having-loosed
τὸ λουρίον, ὃ ἦν διεζωσμένη, ἐπέθηκεν αὐτῇ λέγουσα·
the belt which she-was girded(-with) put(-it)-on her saying
«Μεγάλου ἀνδρὸς ἔχω τὴν εὐλογίαν ταύτην καὶ πιστεύω,
of-(a)-great man I-have the blessing this and I-believe
ὅτι αἱ εὐχαὶ αὐτοῦ ἰῶνται αὐτὴν ἐν τάχει.» Καὶ παραχρῆμα
that the prayers his heal her in speed and immediately

ἐξῆλθεν νεκρὸν τὸ βρέφος. Καὶ θρέψασα τὴν γυναῖκα,
came-out dead the infant and having-nursed the woman
εὐθέως ὑπέστρεψεν· καὶ ὁ Θεὸς συνήθως ἐδοξάσθη, αὐτὴ δὲ
at-once she-returned and — God as-usual was-glorified she but
ταπεινοφρονοῦσα ἔλεγεν ὅτι· «Τοῦ ἁγίου ἐστὶν ἡ ζώνη,
being-humble said that of-the holy(-man) is the girdle
οὗ αἱ εὐχαὶ τὴν κινδυνεύουσαν ἐθεράπευσαν.» Οὕτως
whose the prayers the(-woman) in-danger healed so
πάντοτε τὰ ἑαυτῆς κατορθώματα τοῖς ἁγίοις ἀνετίθει.
always the her-own achievements to-the saints she-ascribed

HER LAST TEACHINGS

Asked whether vainglory ever troubled her, she told how she answered it, setting her fasts against others' longer ones, her poverty against captives' and the ruined, and her hair shirts against the naked poor; and how she answered those who said renunciation must be moderate, as soldiers strive forever higher rank. She was so gentle that she begged pardon of any sister she had grieved. At Christmas in Bethlehem she told her niece Paula she would not keep the feast again; on Stephen's day she read his death to the sisters, prayed at the martyrs' shrine, fell ill, and gave her last charges.

Καί ποτε ἐπυνθάνετό τις τῶν σὺν αὐτῇ παρθένων παρ' 61
and once inquired one of-the with her virgins from
αὐτῆς, εἰ ἐν τοσαύτῃ ἀσκήσει καὶ ἀρετῇ τυγχάνουσα
her whether in such asceticism and virtue being
οὐκ ὠχλήθη ὑπὸ τοῦ δαίμονος τῆς κενοδοξίας ἢ τῆς
not she-was-troubled by the demon of-the vainglory or of-the
ὑπερηφανίας. Ἡ δὲ ταῦτα πρὸς τὴν πάντων ἡμῶν
pride she and these-things for the of-all our
οἰκοδομὴν ἤρξατο λέγειν· «Ἐγὼ μὲν οὐδὲν ἐμαυτῇ
edification began to-say I indeed nothing in-myself

ἀγαθὸν παντελῶς σύνοιδα· πλὴν εἰ ἠσθόμην τὸν ἐχθρὸν
good utterly am-conscious-of except when I-perceived the enemy
σπείροντά μοι λογισμοὺς ὑπερηφανίας προφάσει νηστείας,
sowing in-me thoughts of-pride on-(the)-pretext of-fasting
ταῦτα πρὸς αὐτὸν ἀπεκρινόμην· Καὶ τί μέγα, εἰ ἐγὼ
these-things to him I-answered and what great(-thing) if I
ἑβδομάδας νηστεύω, ἑτέρων τεσσαράκοντα ὅλας ἡμέρας
weeks fast others forty whole days
μὴ ἐσθιόντων; εἰ καὶ ἐλαίου μὴ μεταλαμβάνω, ἄλλοι
not eating if even oil not I-partake-of others
οὐδὲ ὕδατος παντελῶς κορέννυνται. Εἰ δὲ περὶ τῆς
not-even with-water at-all are-sated if and about the
ἀκτημοσύνης ὑπέβαλέν μοι ὁ ἐχθρὸς μέγα φρονῆσαι,
poverty suggested to-me the enemy great(-things) to-think
ἐγὼ τῇ δυνάμει τοῦ Θεοῦ θαρροῦσα ταῦτα ἀντέλεγον
I by-the power — of-God taking-courage these-things said-in-reply
πρὸς τὴν ἄφατον αὐτοῦ πονηρίαν· Πόσοι αἰχμάλωτοι
to the unspeakable his wickedness how-many captives
ὑπὸ βαρβάρων ληφθέντες καὶ αὐτῆς ἐστερήθησαν τῆς
by barbarians having-been-taken also of-very were-deprived the
ἐλευθερίας; πόσοι δὲ βασιλικῇ ἀγανακτήσει ὑποπεσόντες,
freedom how-many and into-imperial anger having-fallen
μετὰ τῶν ὑπαρχόντων καὶ τῆς ζωῆς ἀπηλλάγησαν; πόσοι
with the possessions also of-the life were-rid how-many
δὲ καὶ ὑπὸ γονέων πτωχοὶ κατελείφθησαν; ἕτεροι δὲ
and also by parents poor were-left others and
πάλιν συκοφαντίαις ἢ λῃσταῖς περιπεσόντες πτωχοὶ ἀντὶ
again into-slanders or into-robbers having-fallen poor instead-of
πλουσίων ἐξαίφνης ἐγένοντο· οὐδὲν οὖν μέγα, εἰ ἡμεῖς
rich suddenly became nothing then great(-thing) if we
διὰ τὰ ἄφθαρτα καὶ ἀκήρατα ἀγαθὰ τῶν ἐπιγείων
for the incorruptible and pure good(-things) the earthly(-things)

κατεφρονήσαμεν. Ὅτε δὲ πάλιν ἑώρων τὸν πονηρὸν
despised when and again I-saw the evil(-one)
ὑποτιθέμενόν μοι λογισμὸν κενοδοξίας, ὡς ὅτι ἀπὸ ὀθόνης
suggesting to-me (a)-thought of-vainglory as that from linen
καὶ ὁλοσηρίκων πολλῶν τρίχινα περιβάλλομαι, ἐγὼ
and silks many hair(-garments) I-put-on I
σφόδρα ἐμαυτὴν ταλανίζουσα ἔφερον ἐν τῇ διανοίᾳ μου
greatly myself calling-wretched brought in the mind my
τοὺς ἐν τῇ ἀγορᾷ γυμνοὺς ἐν μόνοις τοῖς ψιαθίοις
those in the marketplace naked in only the mats
ῥεριμμένους καὶ πηγνυμένους τῷ κρύει· καὶ οὕτως ὁ Θεὸς
thrown-down and freezing in-the cold and so — God
κατήργει ἀπ᾽ ἐμοῦ τὸν διάβολον.» Καὶ τὰς μὲν ἐπιβουλὰς
abolished from me the devil and the indeed plots
τοῦ ἐχθροῦ ἔλεγεν φανερὰς τυγχάνειν· «Ἐμοὶ δὲ πλειστάκις
of-the enemy she-said manifest to-be to-me but very-often
χαλεπώτερον τοῦ ἐχθροῦ κόπον ἐκίνησαν ἄνθρωποι,
harder than-the enemy toil stirred-up men
σχῆμα κεκτημένοι ἁγίων· οἵτινες θεωροῦντές με τὴν τοῦ
(the)-guise having of-saints who seeing me the of-the
Κυρίου φωνὴν γνησίως ἐπιτελέσαι σπουδάζουσαν τὴν
Lord voice genuinely to-fulfill being-eager the(-voice)
λέγουσαν τῷ πλουσίῳ· Εἰ θέλεις τέλειος εἶναι, πώλησόν
saying to-the rich(-man) if you-wish perfect to-be sell
σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς καὶ ἆρον τὸν σταυρόν
your the possessions and give to-the-poor and take-up the cross
σου καὶ ἀκολούθει μοι — ἔλεγον πρός με· Μὴ γὰρ
your and follow me they-said to me surely for
οὐκ ἔστιν τινὰ πτωχεῦσαι καὶ ἀσκῆσαι διὰ τὸν
not is-it-possible for-anyone to-be-poor and to-practice-asceticism for the
Κύριον, ἀλλὰ συμμέτρως; Ἐγὼ δὲ ἐλογιζόμην τοὺς τοῖς
Lord but moderately I but reckoned those for-the

φθαρτοῖς ἄρχουσιν στρατευομένους ἐν τῷ κόσμῳ τούτῳ,
perishable rulers soldiering in the world this
πῶς ἀεὶ μειζοτέρων ἀξιωμάτων ὀρεγόμενοι μέχρι θανάτου
how always greater ranks reaching-for until death
κινδυνεύουσιν· εἰ οὖν ἐκεῖνοι διὰ τὸ ἄνθος τοῦ χόρτου
they-are-in-danger if then they for the flower of-the grass
— τοῦτο γὰρ ἡ ἐπίγειος δόξα — οὕτως μοχθοῦσιν,
this for (is)-the earthly glory so toil
πόσῳ μᾶλλον ἐγὼ σπουδάζειν ὀφείλω, ὅπως ἐν τοῖς
by-how-much more I to-be-eager ought that in the
οὐρανοῖς μειζοτέρου ἀξιώματος ἐπιτύχω». Καὶ τὰ μὲν τῆς
heavens greater rank I-may-obtain and the indeed of-the
ψυχωφελοῦς αὐτῆς καὶ πνευματικῆς διδασκαλίας τοιαῦτα.
soul-profiting her and spiritual teaching (were)-such
62 Τοσαύτην δὲ πραότητα καὶ ἡσυχίαν ἐκτήσατο, ὥστε, εἴ
such and gentleness and quiet she-acquired that if
ποτε οἷα εἰκὸς συμβαίνειν εἴωθεν ἀδελφήν τινα θλίψασαν
ever as is-likely to-happen is-wont (a)-sister certain having-grieved
αὐτὴν παρακαλεῖν περὶ συγγνώμης, τοιαῦτα ἔλεγεν ἡ
her to-beseech(-her) for pardon such-things said the
ἁγία· «Οἶδεν ὁ Κύριος, ὅτι ἀναξία οὖσα οὐδὲ πρὸς
holy(-woman) knows the Lord that unworthy being not-even compared-to
κοσμικὴν καλὴν ἐμαυτὴν κρίνω· πλὴν πιστεύω, ὅτι
(a)-worldly(-woman) good myself I-judge but I-believe that
οὐ μὴ κατηγορήσει μου ὁ ἐχθρὸς ἐν ἡμέρᾳ κρίσεως, ὅτι
not — will-accuse me the enemy in (the)-day of-judgment that
κατά τινος ἔχουσα λύπην ἐκοιμήθην.» Μετὰ δὲ χρόνον
against someone having grief I-fell-asleep after and time
τινά, ὡς δρομεὺς ἄριστος τὸ στάδιον διανύσας ἐπιθυμεῖ
some as (a)-runner excellent the course having-completed desires
τῶν βραβείων, οὕτω καὶ αὐτὴ ἔσπευδεν ἀναλῦσαι καὶ
the prizes so also she hastened to-depart and

σὺν Χριστῷ εἶναι. Ἔστενεν γὰρ καὶ αὐτὴ κατὰ τὸν
with Christ to-be she-groaned for also she according-to the
ἀπόστολον, τὸ οἰκητήριον τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι
apostle the dwelling the(-one) from heaven to-put-on
ἐπιποθοῦσα. Καὶ καταλαβόντων τῶν ἁγίων γενεθλίων τοῦ
longing and having-arrived the holy Nativity of-the
σωτῆρος, λέγει πρὸς τὴν ἀνεψιὰν αὐτῆς, τὴν κυρίαν Παῦλαν·
savior she-says to the niece her the lady Paula
«Ἀπέλθωμεν εἰς τὴν ἁγίαν Βηθλεέμ· οὐ γὰρ οἶδα, εἰ ἔτι
let-us-go-away to the holy Bethlehem not for I-know whether still
βλέπω ἐν σαρκὶ τὴν ἑορτὴν ταύτην.» Παραγίνονται οὖν
I-see in flesh the feast this they-arrive then
ἐκεῖσε καὶ πᾶσαν τὴν ἀγρυπνίαν ἐπιτελέσασαι τῇ ἕωθεν
there and all the vigil having-completed on-the morning
μεταλαμβάνουσιν τῶν φρικτῶν μυστηρίων. Καὶ λοιπὸν ἡ
they-partake-of the awesome mysteries and further the
ἁγία, ὡς παρὰ Θεοῦ δεξαμένη τὴν ἀπόκρισιν, τοιαῦτα
holy(-woman) as from God having-received the answer such-things
πρὸς τὴν ἀνεψιὰν αὐτῆς εἶπεν· «Εὔχου ὑπὲρ ἐμοῦ· ἀπὸ γὰρ
to the niece her said pray for me from for
τοῦ νῦν μόνη ἑορτάζεις τὰ γενέθλια τοῦ Κυρίου· ἐμοῦ γὰρ
the now alone you-celebrate the Nativity of-the Lord of-me for
τῆς ἐν σαρκὶ ζωῆς τὸ τέλος μετ᾽ ὀλίγον πληροῦται.» Ἡ δὲ
of-the in flesh life the end after little is-fulfilled she and
ταῦτα ἀκούσασα σφόδρα διεταράχθη. Καὶ ὑποστρέψασαι ἐκ
these-things having-heard greatly was-troubled and having-returned from
τῆς ἁγίας Βηθλεὲμ εἰς τὸ μοναστήριον, εὐθέως ἡ ἁγία,
the holy Bethlehem to the monastery at-once the holy(-woman)
οὐδὲ ὅλως τοῦ κόπου τῆς ἀγρυπνίας καὶ τῆς ὁδοιπορίας
not-even at-all for-the toil of-the vigil and of-the journey
φροντίσασα, ἐξῆλθεν ἐν τῷ σπηλαίῳ καὶ ηὔξατο ἐκτενῶς.
having-cared went-out to the cave and prayed earnestly

63 Καὶ τῇ ἐπαύριον ἀπήλθομεν ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου
and on-the next-day we-went-away to the shrine of-the holy
πρωτομάρτυρος Στεφάνου — ἔφθασεν γὰρ ἡ μνήμη τῆς
protomartyr Stephen arrived for the memorial of-the
κοιμήσεως αὐτοῦ — καὶ συναχθέντες ἐκεῖσε ὑπεστρέψαμεν
falling-asleep his and having-gathered there we-returned
ἐν τῷ μοναστηρίῳ. Καὶ ἐν τῇ ἀγρυπνίᾳ ἀνέγνων ἐγὼ
to the monastery and in the vigil read I
πρῶτος, εἶτα ἀνέγνωσαν τρεῖς ἀδελφαί, ὕστερον δὲ
first then read three sisters later and
πάντων ἀνέγνω καὶ αὐτὴ ἐκ τῶν Πράξεων τὴν κοίμησιν
of-all read also she from the Acts the falling-asleep
τοῦ ἁγίου Στεφάνου. Τελεσάσης δὲ αὐτῆς τὸ τῆς
of-the holy Stephen having-completed and she the of-the
ἀναγνώσεως μέτρον, πᾶσαι αἱ ἀδελφαὶ εἶπαν πρὸς τὴν
reading measure all the sisters said to the
ἁγίαν· «Σωθῇς, ἐν πολλοῖς ἔτεσιν πολλὰς μνήμας
holy(-woman) may-you-be-kept-safe for many years many memorials
ἁγίων ἐπιτελέσῃς.» Ἡ δὲ ὡς ἄνωθεν δεξαμένη τὴν
of-saints may-you-celebrate she and as from-above having-received the
πληροφορίαν, ἀπεκρίνατο πρὸς αὐτάς· «Καὶ ὑμεῖς σωθῆτε·
assurance answered to them also you be-kept-safe
ἐμοῦ γὰρ οὐκέτι ἀναγινωσκούσης ἀκούσητε.» Πᾶσαι δὲ
I for no-longer reading you-will-hear all and
ἐπὶ τῷ λόγῳ τούτῳ χαλεπῶς ὠδυνήθησαν· ἠπίσταντο γὰρ
at the word this grievously were-pained they-knew for
ἐκ προφητείας αὐτὴν εἰρηκέναι τὸν λόγον. Καὶ ὥσπερ
from prophecy her to-have-spoken the word and as-if
ἤδη μεταβαίνουσα πρὸς τὸν Κύριον ἐκ τοῦ κόσμου,
already passing to the Lord from the world
πνευματικὴν αὐταῖς διαθήκην κατελίμπανε, λέγουσα ταῦτα·
(a)-spiritual to-them testament she-left saying these-things

«Σπουδάσατε, παρακαλῶ, μετὰ τὴν ἐμὴν ἔξοδον μετὰ
be-eager I-beseech after the my departure with
φόβου καὶ νήψεως ἐπιτελεῖν τὸν κανόνα· διότι γέγραπται·
fear and sobriety to-perform the rule because it-is-written
Ἐπικατάρατος ὁ ποιῶν τὸ ἔργον Κυρίου ἀμελῶς.
accursed (is)-the(-one) doing the work of-(the)-Lord negligently
Εἰ γὰρ καὶ ἐγὼ μικρὸν ὕστερον χωρίζομαι ὑμῶν τῇ
if for even I (a)-little later am-separated from-you in-the
σαρκὶ καὶ οὐκέτι μεθ' ὑμῶν τυγχάνω, ἀλλ' ὁ ἀεὶ
flesh and no-longer with you am but the(-one) always
ὢν καὶ πληρῶν τὰ σύμπαντα Θεὸς σὺν ὑμῖν ὑπάρχει καὶ
being and filling the all-things God with you is and
γινώσκει ἑκάστης καὶ τὰ βάθη τῆς καρδίας· τοῦτον οὖν
knows of-each(-of-you) also the depths of-the heart him then
προορῶσαι διὰ παντὸς τὰς ἑαυτῶν ψυχὰς ἐν ἀγάπῃ καὶ
foreseeing through all the your-own souls in love and
ἁγνείᾳ μέχρι τέλους τηρήσατε, γινώσκουσαι, ὅτι πᾶσαι
chastity until (the)-end keep knowing that all
τῷ φοβερῷ αὐτοῦ παραστησόμεθα βήματι καὶ κομιεῖται
at-the fearful his we-will-stand judgment-seat and will-receive
ἑκάστη εἴτε τῶν πόνων τὸν μισθὸν εἴτε τῶν ἁμαρτημάτων
each either for-the labors the reward or for-the sins
τὸ κρίμα. Πασῶν δὲ σφοδρῶς ὀδυρομένων, ὅτι τοιαύτην
the judgment all and greatly lamenting that such
ὁδηγὸν ἀγαθὴν καὶ θεόπνευστον διδάσκαλον ἤμελλον
(a)-guide good and God-inspired teacher they-were-about
ἀπολλύειν, αὐτὴ καταλείψασα αὐτὰς ἔφη πρὸς τὴν ἐμὴν
to-lose she having-left them said to the my
εὐτέλειαν· «Ἀπέλθωμεν εἰς τὸ μαρτύριον τοῦ μοναστηρίου
lowliness let-us-go-away to the shrine of-the monastery
τῶν ἀνδρῶν, ἵνα εὐξώμεθα» — καὶ γὰρ ἀπόκεινται καὶ
of-the men that we-may-pray and for lie also

ἐκεῖ λείψανα τοῦ ἁγίου Στεφάνου. Ἐμοῦ δὲ μετὰ πολλῆς
there relics of-the holy Stephen I and with much
ὀδύνης τὸ κελευσθὲν ὑπὸ τῆς μακαρίας ποιήσαντος καὶ
pain the(-thing) bidden by the blessed(-woman) having-done and
ἀκολουθήσαντος αὐτῇ, ὡς ἐγενάμεθα ἔνδον τοῦ μαρτυρίου,
having-followed her when we-came inside the shrine
αὐτή, ὡς ἤδη συνόμιλος γεναμένη τῶν ἁγίων μαρτύρων,
she as already (a)-companion having-become of-the holy martyrs
εὐχομένη μετὰ δακρύων ἔλεγεν ταῦτα· «Δέσποτα ὁ Θεὸς
praying with tears said these-things Master — God
τῶν ἁγίων μαρτύρων, ὁ γινώσκων τὰ πάντα πρὶν
of-the holy martyrs the(-one) knowing the all-things before
γενέσεως αὐτῶν, σὺ ἐπίστασαι τὴν ἐμὴν ἐξ ἀρχῆς
(the)-coming-to-be their you know the my from (the)-beginning
προαίρεσιν, ὅτι σὲ ἠγάπησα ἐξ ὅλης καρδίας καὶ ἀπὸ τοῦ
choice that you I-loved with whole heart and from the
φόβου σου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου· σοὶ
fear your clove the bone my to-the flesh my to-you
γὰρ τῷ πλάσαντί με ἐκ κοιλίας μητρός μου ἀνεθέμην
for the(-one) having-formed me from (the)-womb of-mother my I-dedicated
τὴν ψυχήν μου καὶ τὸ σῶμα καὶ σὺ κρατήσας τῆς
the soul my and the body and you having-taken-hold-of the
χειρὸς τῆς δεξιᾶς μου ὡδήγησάς με ἐν τῇ βουλῇ σου· ἀλλ᾽
hand the right my guided me in the counsel your but
ἄνθρωπος οὖσα πολλάκις ἥμαρτόν σοι καὶ ἐν λόγῳ
human being often I-sinned against-you both in word
καὶ ἐν ἔργῳ, σοὶ τῷ μόνῳ καθαρῷ καὶ ἀναμαρτήτῳ·
and in deed against-you the only pure and sinless
πρόσδεξαι οὖν τὴν δέησίν μου, ἣν μετὰ τῶν δακρύων μου
accept then the prayer my which with the tears my
τούτων προσφέρω σοι, διὰ τῶν ἁγίων σου ἀθλοφόρων
these I-offer to-you through the holy your prize-bearers

καὶ καθάρισόν με τὴν δούλην σου, ἵνα ἐρχομένης μου πρὸς
and cleanse me the handmaid your that coming I to
σὲ ἀνεμπόδιστα γένωνται τῆς ψυχῆς μου τὰ διαβήματα
you unhindered may-become of-the soul my the steps
καὶ μὴ κατάσχωσίν με οἱ τοῦ ἀέρος τούτου πονηροὶ
and not may-detain me the of-the air this evil
δαίμονες, ἀλλὰ διαβῶ πρὸς σὲ ἄσπιλος, ὁδηγουμένη ὑπὸ
demons but may-I-pass to you spotless being-guided by
τῶν ἁγίων σου ἀγγέλων, καὶ καταξιωθῶ τῆς οὐρανίου
the holy your angels and may-I-be-deemed-worthy of-the heavenly
σου παστάδος, ἀκούσασα τῆς εὐλογημένης σου φωνῆς, ἧς
your bridal-chamber having-heard the blessed your voice which
μέλλεις τότε λέγειν πρὸς τοὺς εὐαρεστοῦντάς σοι· Δεῦτε
you-are-about then to-say to those pleasing you come
οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν
the(-ones) blessed of-the Father my inherit the
ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.
prepared for-you kingdom from (the)-foundation of-(the)-world
Σοῦ γάρ εἰσιν οἱ ἄφατοι οἰκτιρμοὶ καὶ τὰ πλήθη τοῦ
yours for are the unspeakable compassions and the multitudes of-the
ἐλέους καὶ σῴζεις πάντας τοὺς ἐλπίζοντας ἐπὶ σέ.»
mercy and you-save all those hoping in you
Εἶτα τοὺς ἁγίους μάρτυρας παρεκάλει λέγουσα· «Ἀθληταὶ
then the holy martyrs she-besought saying athletes
τοῦ Κυρίου, οἱ τὸ τίμιον ὑμῶν αἷμα ὑπὲρ τῆς
of-the Lord the(-ones) the precious your blood for the
εἰς αὐτὸν ὁμολογίας ἐκχέοντες, σπλαγχνίσθητε ἐπὶ τὴν
toward him confession pouring-out have-compassion on the
ταπεινὴν δούλην ὑμῶν, ἥτις ἀεὶ τὰ ἅγια ὑμῶν λείψανα
lowly handmaid your who always the holy your relics
προσεκύνησα· καὶ ὥσπερ πάντοτέ μου ὑπηκούσατε, οὕτω
I-venerated and as always me you-heard so

καὶ ἐπὶ τοῦ παρόντος παρρησίαν κεκτημένοι πρὸς τὸν
also at the present boldness having toward the
φιλάνθρωπον Θεὸν πρεσβεύσατε, ὅπως ἐμοῦ μὲν τὴν
man-loving God intercede that of-me indeed the
ψυχὴν ἐν εἰρήνῃ προσδέξηται, τὰ δὲ μοναστήρια μέχρι
soul in peace he-may-receive the and monasteries until
τέλους ἐν τῷ φόβῳ αὐτοῦ διαφυλάξῃ.» Καὶ πρὶν σχεδὸν
(the)-end in the fear his he-may-guard and before almost
τὴν εὐχὴν τελέσαι, εὐθέως ἤρξατο ὑποφρικιᾶν αὐτῆς τὸ
the prayer to-complete at-once began to-shiver her the
σαρκίον. Καὶ ὑποστρέψαντες εἰς τὸ μοναστήριον τῶν
flesh and having-returned to the monastery of-the
παρθένων, κατελάβομεν τὰς ἀδελφὰς ἐπιτελούσας ἔτι τὴν
virgins we-found the sisters performing still the
ψαλμῳδίαν· καὶ ἐμοῦ ἐκ τῆς συνοχῆς τῆς περιεχούσης
psalmody and I from the oppression of-the encompassing
με θλίψεως μὴ δυνηθέντος ἔτι στῆναι, ἀλλ' ἀπελθόντος
me affliction not being-able longer to-stand but having-gone-away
ὀλίγον ἀναπαῆναι, αὐτὴ πάλιν ἀπῆλθεν εἰς τὸν κανόνα.
(a)-little to-rest she again went-away to the rule
Ὡς δὲ ᾔσθοντο αἱ ἀδελφαί, ὅτι λοιπὸν ἤρξατο ἀρρωστεῖν,
when and perceived the sisters that further she-began to-be-ill
πολλὰ παρεκάλεσαν αὐτὴν λέγουσαι· «Ἀνάπαυσον ἑαυτὴν
much they-besought her saying rest yourself
μικρόν, ὅτι οὐκ ἰσχύεις στῆναι.» Ἡ δὲ οὐκ ἐπένευσεν
(a)-little because not you-are-able to-stand she but not assented
εἰποῦσα· «Τέως πληρώσωμεν τοὺς ὀρθρινοὺς ὕμνους.»
having-said for-the-present let-us-complete the morning hymns
Καὶ μετὰ τὸ πληρῶσαι αὐτὴν πᾶσαν τὴν λειτουργίαν
and after the to-complete her all the service
ἀπελθοῦσα ἀνέκλινεν ἑαυτήν· καὶ κατασχεθεῖσα ὑπὸ
having-gone-away she-reclined herself and seized by

τῆς τοῦ πλευροῦ ἀλγηδόνος, σφοδροτάτως ἠρρώστησεν.
the of-the side pain most-severely she-fell-ill
Καὶ μεταστειλαμένη τὴν ἐμὴν εὐτέλειαν καὶ πάσας τὰς
and having-summoned the my lowliness and all the
ἀδελφάς, ἤρξατο λέγειν πρός με· «Ἰδοῦ ἐγὼ πορεύομαι
sisters she-began to-say to me behold I go
πρὸς τὸν Κύριον· εὖξαι οὖν περὶ ἐμοῦ.» Ἐγὼ δὲ
to the Lord pray then for me I and
χαλεπωτέρως ἤλγησα τὴν καρδίαν ταῦτα ἀκούσας.
more-grievously was-pained-in the heart these-things having-heard
Εἶτα πάλιν πρὸς τὰς παρθένους ἔλεγεν ταῦτα· «Καὶ ὑμᾶς 64
then again to the virgins she-said these-things also you
παρακαλῶ εὔξασθαι περὶ ἐμοῦ, διότι οὐδέποτέ τινι ὑμῶν
I-beseech to-pray for me because never to-any of-you
κακὸν ἐβουλήθην· ἀλλ᾽ εἰ καί ποτε ἐλάλησα μιᾷ ἐξ ὑμῶν
evil I-wished but if even ever I-spoke to-one of you
αὐστηρότερον λόγον, ἀγάπης ἕνεκα πνευματικῆς τοῦτο
(a)-harsher word of-love for-the-sake spiritual this
ἐποίησα· βλέπετε οὖν ἑαυτὰς ὡς γνήσιαι δοῦλαι τοῦ Χριστοῦ·
I-did see then yourselves as genuine handmaids — of-Christ
ἐν πάσῃ ἐπιστήμῃ διάξατε τὸν ὑπόλοιπον τῆς ζωῆς ὑμῶν
in all knowledge spend the remaining of-the life your
χρόνον, ἵνα φαιδρὰς ἔχουσαι τὰς λαμπάδας κατὰ τὴν ἡμέραν
time that bright having the lamps on the day
ἐκείνην ἀρέσητε τῷ ἐπουρανίῳ νυμφίῳ· ἰδοῦ οὖν παρατίθημι
that you-may-please the heavenly bridegroom behold then I-commit
ὑμᾶς τῷ Θεῷ τῷ δυναμένῳ φρουρῆσαι τὰς ψυχὰς καὶ
you — to-God the(-one) able to-guard the souls and
τὰ σώματα ὑμῶν· παρατίθημι δὲ ὑμᾶς καὶ τῷ κυρίῳ τῷ
the bodies your I-commit and you also to-the lord the
πρεσβυτέρῳ καὶ παρακαλῶ, μὴ θλίψητε αὐτὸν ἔν τινι, ἀλλ᾽
presbyter and I-beseech not grieve him in anything but

ὑποτάγητε αὐτῷ ἐν πάσῃ ταπεινοφροσύνῃ, γινώσκουσαι, ὅτι
submit to-him in all humility knowing that
καὶ αὐτὸς διὰ τὸν Θεὸν τὸ βάρος ὑμῶν βαστάζει καὶ ἡ
also he for — God the burden your carries and the(-woman)
ἀντιτασσομένη αὐτῷ καὶ μὴ ὑπακούουσα τὸν Θεὸν λυπεῖ.»
opposing him and not obeying — God grieves
Ταῦτα δὲ εἰρηκυῖα ἐπεθύμησεν ἐν τῷ εὐκτηρίῳ τεθῆναι καὶ
these-things and having-said she-desired in the oratory to-be-laid and
λέγει· «Ἀποκομίσατέ με πλησίον τῶν ἁγίων μαρτύρων».
says carry me near the holy martyrs

HER DEATH AND BURIAL

She told the author that prayers would no longer avail, and he celebrated the anaphora for her. The bishop came; she bade farewell to the monks, the other monasteries, and Paula, and commended her monasteries to the author. On Sunday evening, saying, "As the Lord willed, so it was done," she gave up her soul. She was buried in the garments of saints, and angels, prophets, apostles, and martyrs received her into heaven.

65 Εἶτα τῶν ὀδυνῶν αὐτῆς ἔτι μᾶλλον αὐξανομένων, λέγει
then the pains her still more increasing she-says
πρὸς ἡμᾶς· «Ἡ ἡμέρα ἐπληρώθη.» Καὶ πάντες χαλεπῶς
to us the day has-been-fulfilled and all grievously
ὠδύροντο, μάλιστα δὲ αἱ παρθένοι ἐπενθοῦσαν, μητρὸς
lamented especially and the virgins mourned of-(a)-mother
στερούμεναι ἀληθῶς φιλοστόργου. Ὁρῶσα δὲ ἡ ἁγία
being-deprived truly affectionate seeing and the holy(-woman)
καὶ τὴν ἐμὴν καρδίαν πάνυ ὀδυνωμένην, λέγει μοι τῇ
also the my heart very pained says to-me on-the
πέμπτῃ ἡμέρᾳ τῆς ἀρρωστίας αὐτῆς, ἐν ᾗ καὶ ἐτελειώθη·
fifth day of-the illness her in which also she-was-perfected

«Τέκνον, ὅσα ἂν εὔξησθε καὶ κλαύσητε, οὐδὲν ὠφελεῖτε·
child whatever — you-pray and weep in-nothing you-help
ἤκουσα γὰρ φωνῆς λεγούσης εἰς τὴν καρδίαν μου, ὅτι
I-heard for (a)-voice saying into the heart my that
δεῖ με πάντως κατὰ πρόσταγμα Κυρίου τῶν
it-is-necessary-for me surely by order of-(the)-Lord from-the
δεσμῶν τοῦ σώματος ἐλευθερωθῆναι καὶ πρὸς τὸν Κύριον
bonds of-the body to-be-freed and to the Lord
ἐκδημῆσαι.» Ἦν δὲ κυριακὴ ἐπιφώσκουσα, καὶ λέγει
to-depart it-was and (the)-Lord's-day dawning and she-says
μοι πρὸ διαφαύματος· «Καταξίωσον ἐπιτελέσαι ἡμῖν τὴν
to-me before daybreak deign to-celebrate for-us the
ἁγίαν ἀναφοράν». Καὶ ἐν τῷ προσφέρειν με, ἀπὸ πολλῆς
holy anaphora and in the offering me from much
ὀδύνης οὐκ ἴσχυον κράξαι. Ἡ δὲ ὡς οὐκ ἤκουσεν τῆς
pain not I-was-able to-cry-out she and as not she-heard the
ἐπικλήσεως, δηλοῖ μοι ἱσταμένῳ ἐν τῷ θυσιαστηρίῳ
invocation makes-known to-me standing at the altar
πάνυ ἀγωνιάσασα· «Ὕψωσον τὴν φωνήν σου, ἵνα ἀκούσω
greatly having-been-anxious raise the voice your that I-may-hear
τῆς ἐπικλήσεως».
the invocation
Καὶ οὕτως μεταλαβούσης αὐτῆς τῶν θείων μυστηρίων, 66
and so having-partaken she of-the divine mysteries
παραγίνεται ὁ θεοφιλέστατος ἐπίσκοπος σὺν τῷ κλήρῳ.
arrives the most-God-beloved bishop with the clergy
Καὶ λαλήσαντες λόγους ἱκανοὺς περὶ σωτηρίας ψυχῆς,
and having-spoken words considerable about salvation of-soul
ὕστερον λέγει πρὸς αὐτὸν ἡ μακαρία· «Ἔχε ἐν παραθήκῃ
later says to him the blessed(-woman) have in trust
τὸν πρεσβύτερον καὶ τὰ μοναστήρια καὶ προνοοῦ πάντων
the presbyter and the monasteries and take-thought-for all

ὡς καλὸς ποιμὴν λογικῶν προβάτων, μιμούμενος τὸν ἑαυτοῦ
as (a)-good shepherd of-rational sheep imitating the his-own
δεσπότην.» Ὁ δὲ ἐννοῶν, πόσον ἀγαθὸν ἤμελλεν ἐξιέναι
master he and considering how-great (a)-good was-about to-go-out
τοῦ κόσμου, σφόδρα ἐταράχθη. Ἡ δὲ ἁγία αἰτήσασα
of-the world greatly was-troubled the and holy(-woman) having-asked
καὶ παρ᾽ αὐτοῦ κοινωνίαν, ἀπέλυσεν αὐτὸν ἐν εἰρήνῃ.
also from him communion dismissed him in peace

67 Καὶ λοιπὸν εἰσῆλθον οἱ ἐν τῷ μοναστηρίῳ αὐτῆς
and further entered the(-ones) in the monastery her
θεοφιλέστατοι μοναχοὶ καὶ πρὸς αὐτοὺς ἔφη· «Συντάσσομαι
most-God-beloved monks and to them she-said I-bid-farewell
ὑμῖν μέλλουσα ἐκδημεῖν ἐκ τοῦ προσκαίρου βίου· καὶ
to-you being-about to-depart from the temporary life and
παρακαλῶ, ἐν πᾶσιν ἀναπαύσατε τὸν πρεσβύτερον,
I-beseech in all-things refresh the presbyter
γινώσκοντες ὅτι ἐν τούτῳ τὸν τῶν ὅλων Θεὸν ἀναπαύετε,
knowing that in this the of-the all God you-refresh
διότι καὶ αὐτὸς ἐλεύθερος ὢν ἐκ πάντων ἐδούλωσεν
because also he free being from all enslaved
ὑμῖν ἑαυτὸν διὰ τὸν Κύριον καὶ μὴ ἔχων ἀνάγκην τὸ
to-you himself for the Lord and not having necessity the
βάρος ὑμῶν βαστάζει.
burden your carries

68 Εἶτα εἰσῆλθον τὰ λοιπὰ μοναστήρια καὶ πλεῖστοι ἐκ
then entered the other monasteries and very-many from
τῆς πόλεως. Καὶ ἡ ἀληθῶς γενναία, καὶ ταῦτα τῶν
the city and the truly noble(-woman) and that the
χαλεπῶν ἐκείνων ὀδυνῶν ἁπτομένων αὐτῆς τοῦ σώματος,
grievous those pains gripping her the body
ἐν οὐδενὶ ὠλιγώρησεν, ἀλλ᾽ ἀδιστάκτῳ καρδίᾳ μετὰ
in nothing was-negligent but with-unhesitating heart with

πολλῆς μακροθυμίας, ὡς ἔπρεπεν, ἅπασιν συνετάξατο. Καὶ
much long-suffering as befitted to-all bade-farewell and
μετὰ ταῦτα εἰσῆλθεν πρὸς αὐτὴν ἡ ἀνεψιὰ αὐτῆς, ἡ
after these-things entered to her the niece her the
κυρία Παῦλα, σὺν πᾶσιν τοῖς οἰκείοις αὐτῆς· καὶ πάντας
lady Paula with all the household her and all
ἐνουθέτησεν, ἐξαιρέτως δὲ αὐτὴν σφόδρα ὀδυνωμένην ἐπὶ
she-admonished especially and her greatly pained at
τῷ χωρισμῷ αὐτῆς παρεμυθήσατο καὶ πολλὰ εὐλογήσασα
the separation her she-consoled and much having-blessed
καὶ ἐπευξαμένη ἀπέλυσεν. Ὕστερον δὲ πάντων
and having-prayed-over(-her) dismissed later and of-all
πρὸς τὴν ἐμὴν ἐλεεινότητα τοιούτους ἐφθέγξατο λόγους·
to the my wretchedness such she-uttered words
«Περιττὸν μέν ἐστιν τὸ παρακαλεῖν τὴν σὴν θεοφιλίαν
superfluous indeed is the to-exhort the your God-belovedness
περὶ τῆς φροντίδος τῶν μοναστηρίων· καὶ γὰρ ἐμοῦ ἔτι ἐν
about the care of-the monasteries and for I still in
σαρκὶ ζώσης, σὺ ὑπῆρχες ὁ πάντων τὴν φροντίδα καὶ
flesh living you were the(-one) of-all the care and
τὸ βάρος βαστάζων καὶ εἰς πάντας συναντιλαμβανόμενός
the burden carrying and in all(-things) helping
μου· διὸ καὶ νῦν παρατίθημί σοι τὰ μοναστήρια καὶ
me therefore also now I-commit to-you the monasteries and
παρακαλῶ, ὅπως περισσοτέρως ἐν τῇ ἀπουσίᾳ μου τὸν
I-beseech that more-abundantly in the absence my the
ὑπὲρ αὐτῶν ἀναδέξασθαι πόνον, ὑπὲρ οὗ τὸν μισθὸν
for them to-take-up toil for which the reward
ἀποδώσει σοι ὁ Θεὸς ἐν τῷ αἰῶνι τῷ μέλλοντι.» Καὶ ὡς
will-repay you — God in the age the coming and when
πᾶσιν συνετάξατο ἐν εἰρήνῃ, εἶπεν· «Ποιήσατε εὐχήν.»
to-all she-had-bidden-farewell in peace she-said make (a)-prayer

Καὶ οὕτως ἀπέλυσεν ἅπαντας λέγουσα· «Ἄφετέ με λοιπὸν
and so she-dismissed all saying let me further
ἀναπαῆναι.» Περὶ δὲ ἐνάτην ὥραν ἤρξατο λιποθυμεῖν·
to-rest about and (the)-ninth hour she-began to-faint
Ἡμεῖς δὲ ὑπολαβόντες, ὅτι ἐξέλιπεν, ἐπειρώμεθα τανύειν
we and having-supposed that she-had-expired tried to-stretch-out
αὐτῆς τοὺς πόδας. Ἡ δὲ μικρὸν ἀνασφήλασα λεπτῇ τῇ
her the feet she and (a)-little having-recovered with-thin the
φωνῇ ἔφη πρὸς τὴν ἐμὴν βραχύτητα· «Οὔπω ἦλθεν ἡ
voice said to the my littleness not-yet has-come the
ὥρα.» Ἐγὼ δέ, καὶ ταῦτα μὴ δυνάμενος ὑποφέρειν τὴν
hour I and even that not being-able to-bear the
περιέχουσάν με ὀδύνην, πρὸς αὐτὴν ἀπεκρινάμην. «Ὅτε
encompassing me pain to her answered when
οὖν ἔλθῃ ἡ ὥρα, προλέγεις ἡμῖν;» Ἡ δὲ «Ναί» φησιν·
then comes the hour do-you-foretell(-it) to-us she and yes she-says
having-gone-away and again also the second day to the
κέλλαν αὐτῆς τοῦ εὐλογηθῆναι οὐκ ἔτυχον ἀποκρίσεως. καὶ
cell her — to-be-blessed not I-obtained (an)-answer and
τῇ τρίτῃ ἡμέρᾳ εἶπον ἐν ἐμαυτῷ· Ἰδοὺ καὶ ἅπαξ ἤδη καὶ
on-the third day I-said in myself behold both once already and
δεύτερον ἐλθὼν οὐδὲ ἀποκρίσεως ἔτυχον· μὴ ἄρα
twice having-come not-even (an)-answer I-have-obtained surely-not then
ἀνεχώρησεν ὁ τοῦ θεοῦ δοῦλος ἐκεῖνος; καὶ τοῦτο λέγων
has-withdrawn the — of-God servant that and this saying
ἔβλεπον πανταχόθεν καὶ τὸ κελλίον· ὡς δὲ ἦν οὐδαμοῦ
I-looked on-every-side even the cell as but there-was nowhere
ἔξοδος, πάλιν εἰς ἕτερον ἦλθον λογισμόν, θεϊκωτέραν
(an)-exit again to another I-came thought more-divine
ἀναλαβὼν ἔννοιαν, μὴ ἄρα, λέγων ἐν ἐμαυτῷ, ἀπέθανεν
having-taken-up (a)-notion surely-not then saying in myself has-died
ὁ ἐνταῦθα ὢν ἅγιος μοναχός; καὶ περιεσκόπουν ἀκριβῶς
the here being holy monk and I-looked-around carefully
εἴ πως ἰσχύσω ἰδεῖν τι διὰ τῆς θυρίδος· ὡς δὲ οὐ
if somehow I-might-be-able to-see anything through the window as but not
μόνον οὐδὲν ἔβλεπον ἀλλ᾽ οὐδὲ ἤκουσά τινος ἔσωθεν ἢ
only nothing I-saw but not-even I-heard anyone within either
ψάλλοντος ὡς τὸ πρότερον ἢ μέχρι καὶ ψιλοῦ πνεύματος,
singing as the earlier or to even bare breath
ἔγνων ἀποχρῖσαι τὴν θυρίδα καὶ ἰδεῖν ἀκριβέστερον.
I-decided to-unseal the window and to-see more-exactly
καὶ τοῦτο ποιήσας παρέκυψα, καὶ ἰδοὺ ὁρῶ τὸν ἅγιον
and this having-done I-peeped-in and behold I-see the holy(-one)
τεθνηκότα καὶ εὐσχημόνως ἡπλωμένον ἐπὶ τῆς γῆς· καὶ
dead and decently laid-out on the ground and
οὕτως πάλιν κλείσας τὴν θυρίδα καὶ πηλῷ χρίσας
so again having-shut the window and with-clay having-smeared(-it)

ἦλθον δρομαῖος εἰς τὰ Ἱεροσόλυμα δοξάζων τὸν θεὸν
I-came running to — Jerusalem glorifying — God
καὶ ἀπαγγέλλων τοῖς ἐκεῖσε οἰκοῦσιν τὴν κοίμησιν τοῦ
and announcing to-those there dwelling the falling-asleep of-the
ἁγίου Πελαγίου τοῦ σημειοφόρου μοναχοῦ. εὐθὺς δὲ ὅλα
holy Pelagius the sign-bearing monk at-once and all
τὰ μοναστήρια καὶ ἀπὸ Νικοπόλεως καὶ ἀπὸ Ἱεριχῶ
the monasteries both from Nicopolis and from Jericho
καὶ πέραν τοῦ Ἰορδάνου συνήχθη πλῆθος πολὺ εἰς τὸ
and beyond — Jordan were-gathered (a)-multitude great to the
ὄρος τῶν ἐλαιῶν. καὶ οὕτως καταλύσαντες τὴν θύραν
mount of-the olives and so having-broken-down the door
τῆς κέλλης ἐξήνεγκαν τὸ ἅγιον καὶ ὑπὲρ χρυσίον καὶ
of-the cell they-carried-out the holy and above gold and
λίθον τίμιον πολὺ τιμιώτερον λείψανον καὶ μετὰ πάσης
stone precious much more-precious relic and with all
τιμῆς καὶ φόβου ἅπαντες ἀσπασάμενοι αὐτὸ ἔθηκαν ἐπὶ
honor and fear all having-kissed it placed on
σκαμνίου. ὁ δὲ ἁγιώτατος ἐπίσκοπος ἐκεῖσε καὶ αὐτὸς
(a)-bench the and most-holy bishop there also himself
ἐλθὼν [Ἱεροσολύμων] ὁμοίως καὶ οἱ τίμιοι πατέρες ἐν
having-come of-Jerusalem likewise and the honored fathers in
τῷ σχηματίζειν αὐτὸν πρὸς τὴν κηδείαν καὶ χρίειν τῷ
the preparing him for the burial and to-anoint with-the
μύρῳ ἔγνωσαν ὅτι γυνὴ ἦν ἀληθῶς τῇ φύσει, καὶ
myrrh knew that (a)-woman she-was truly in-the nature and
ἀνέκραξαν φωνῇ μεγάλῃ πάντες· Δόξα σοι ὁ θεός, ὅτι
cried-out with-voice great all glory to-you — God that
πολλοὺς ἔχεις ἁγίους κρυπτοὺς ἐπὶ τῆς γῆς οὐ μόνον
many you-have saints hidden on the earth not only
ἄνδρας ἀλλὰ καὶ γυναῖκας. καὶ οὕτως ἐγνώσθη παντὶ τῷ
men but also women and so was-known to-all the

συνελθόντι λαῷ τὸ τοιοῦτον θαῦμα. συνήχθησαν δὲ καὶ
assembled people the such wonder were-gathered and also
πάντα τὰ τῶν παρθένων μοναστήρια· καὶ μετὰ κηρῶν καὶ
all the of-the virgins monasteries and with candles and
θυμιαμάτων συνεκομίσθη τὸ ἅγιον αὐτῆς λείψανον χερσὶν
incense was-borne the holy her relic by-hands
ἁγίων πατέρων καὶ ἐτέθη ἐν τόπῳ σεμνῷ καὶ ἁγίῳ.
of-holy fathers and was-laid in (a)-place reverend and holy
Οὗτος ὁ βίος τῆς πόρνης, αὕτη ἡ πολιτεία τῆς
this (is)-the life of-the harlot this the conduct of-the
ἀπεγνωσμένης· μεθ' ἧς καὶ ἡμᾶς δῴη ὁ κύριος εὑρεῖν
despaired-off(-woman) with whom also us may-grant the lord to-find
ἔλεος ἐν ἡμέρᾳ κρίσεως· ὅτι αὐτοῦ ἡ δόξα εἰς τοὺς
mercy in (the)-day of-judgment for his (is)-the glory unto the
αἰῶνας τῶν αἰώνων. ἀμήν.
ages of-the ages amen

ANONYMOUS

ΜΕΤΑΝΟΙΑ ΤΗΣ ΜΑΚΑΡΙΑΣ ΤΑΪΣΙΑΣ ΤΗΣ ΠΟΡΝΗΣ

The Repentance of Thaïs

THE REPENTANCE OF THAÏS

Taisia (Thaïs), a beautiful girl whose worldly mother put her to harlotry, ruined many lovers. The abba Sarapion came to her as a client and asked whether she had an inner room; she answered that God sees everywhere, and he showed her her sins. She burned her wealth in the city square, and he shut her in a sealed cell in a women's monastery, where for three years she prayed only, "You who formed me, have mercy on me." Antony's disciple Paul saw in a vision a bed prepared for her; freed, she lived fifteen days with the virgins and died three days after.

Ἀδελφοί μου γνήσιοι καὶ Χριστοῦ τοῦ βασιλέως δοῦλοι 1
brothers my true and of-Christ the king servants
ἀληθινοί, κλίνατε ὑμῶν τὰς ἀκοὰς πρὸς βραχὺ εἰς ἀκρόασιν
genuine incline your the ears for (a)-little to (a)-hearing
θείαν καὶ ψυχωφελῆ. Βούλομαι γὰρ διηγήσασθαι ὑμῖν
divine and profitable-to-the-soul I-wish for to-relate to-you
τὴν θαυμαστὴν καὶ φαιδρὰν καὶ ὠφέλιμον μετάνοιαν, ἣν
the wonderful and bright and profitable repentance which
ἀρξαμένη καὶ τελέσασα ἡ τοῦ Χριστοῦ δούλη Ταϊσία
having-begun and having-completed the — of-Christ servant Taisia
ἐδοξάσθη πάνυ. Καὶ τοῖς πεσοῦσι τῷ τῆς ἁμαρτίας
was-glorified greatly and to-those having-fallen in-the of-the sin
ῥύπῳ καὶ θέλουσι μετανοῆσαι, ὠφέλιμος ὁ λόγος καὶ
filth and wishing to-repent profitable (is)-the story and
παρακλητικὸς, χεῖρα ὀρέγων καὶ διεγείρων τοῦ μὴ
consoling (a)-hand reaching-out and rousing(-them) from-the not
περιπίπτειν τοῖς διαβολικοῖς ἀπογνώσεως λογισμοῖς.
to-fall-into the devilish of-despair thoughts
Ἐγένετο κόρη τις ἐν Ἀλεξανδρείᾳ ὀνόματι Ταϊσία,
there-was (a)-girl certain in Alexandria by-name Taisia
ὡραιοτάτη σφόδρα, πλεονεκτοῦσα ἐν τῷ κάλλει καὶ
most-beautiful exceedingly surpassing in the beauty even

τὰς ποτὲ θαυμαζομένας ἐπ᾽ εὐμορφίᾳ. Ταύτην ἡ
the(-women) once admired for comeliness her the
κατὰ σάρκα μήτηρ, σαρκική τις οὖσα καὶ οὐ θεοφιλὴς,
according-to flesh mother fleshly some being and not god-loving
ἀμύητος τοῦ θείου φόβου καὶ τοῦ μέλλοντος κριτηρίου
uninitiated in-the divine fear and of-the coming judgment
ἀφρόντιστος, λαβοῦσα ταύτην ἔστησεν ἐκ παιδόθεν εἰς
heedless having-taken her set from childhood into
τὸ τοῦ διαβόλου ἐργαστήριον, εἰς τόπον ἀπωλείας τὸ
the of-the devil workshop into (a)-place of-destruction the
κάλλος αὐτῆς ἀπεμπολοῦσα τοῖς θέλουσιν αὐτὴν αἰσχρῶς
beauty her selling to-those wishing her shamefully
ἐνυβρίζειν. Καὶ διέδραμε τὸ ὄνομα τοῦ κάλλους αὐτῆς.
to-outrage and ran-abroad the name of-the beauty her
Καὶ πολλοὶ ἀπὸ μακρόθεν ἤρχοντο τοῦ θεάσασθαι αὐτήν·
and many from afar came — to-behold her
Καὶ ἐσαγηνεύοντο τῷ κάλλει αὐτῆς οἵ τε ξένοι καὶ οἱ
and were-netted by-the beauty her the both strangers and the
ἐντόπιοι. Καὶ ὥσπερ ἔλαφος φησὶ τοξευθεῖσα εἰς τὸ ἧπαρ,
natives and as (a)-deer he-says shot in the liver
οὕτως τῆς ἐπιθυμίας ἐπιτρώσκοντο τῷ βέλει. Θεωροῦντες
so of-the desire they-were-wounded by-the arrow beholding
γὰρ τὸ φαιδρὸν τοῦ προσώπου αὐτῆς, καὶ τὴν ἡλικίαν τοῦ
for the brightness of-the face her and the stature of-the
παντὸς σώματος ἔρωτι ἐξέπιπτον ἀναιδεῖ, καὶ ὥσπερ φλὸξ
whole body into-love they-fell shameless and like (a)-flame
ἐκαίετο εἰς αὐτοὺς ἡ μανία τοῦ φίλτρου αὐτῆς. Καὶ οὕτως
burned in them the madness of-the love-charm her and so
ἐμμανεῖς γενόμενοι οἱ ἄνθρωποι, ὑπερεώρων χρημάτων
maddened having-become the men disregarded money
καὶ πραγμάτων, πρὸς τὸ τυχεῖν τῆς ἀσέμνου ἐπιθυμίας.
and affairs so-that — to-obtain the indecent desire

Πολλοὶ οὖν δι᾽ αὐτὴν τὰ τῶν γονέων ἐπίπρασκον
many then for her the(-things) of-the parents sold
πράγματα, ἄλλοι δὲ οὐδὲ τῶν ἱματίων αὐτῶν ἐφείδοντο,
possessions others but not-even the garments their spared
καὶ ἕτεροι λῃστεύειν ἐμάνθανον, πρὸς τὸ πληρῶσαι τὴν
and others to-rob learned so-that — to-fulfill the
αἰσχρὰν ἐπιθυμίαν, καὶ οὕτως παγὶς πολλοῖς καὶ βόθρος
shameful desire and so (a)-snare to-many and (a)-pit
θανάτου τυγχάνουσα, τήν τε αὐτῆς ψυχὴν καθ᾽ ἑκάστην
of-death being the both her soul by each(-day)
ἐβαράθριζε, καὶ πάντων τῶν πλησιαζόντων αὐτῇ.
she-plunged-into-the-abyss and of-all those approaching her
Ἀκούσας δὲ ταῦτα περὶ αὐτῆς ὁ ἀββᾶς Σαραπίων ὁ
having-heard and these-things about her the abba Sarapion the(-one)
ἐπικληθεὶς Σινδόνιος, διὰ τὸ ἀεὶ σινδόνα φορεῖν, τάχα
surnamed Sindonius because-of the always (a)-linen-cloth to-wear perhaps
οὖν διὰ τὸ λαμπρὸν τῆς πολιτείας αὐτοῦ καὶ ἀπαθές,
then because-of the brightness of-the life his and dispassion
οὗτος οἰκτειρήσας κακείνην, καὶ τοὺς δι᾽ αὐτὴν εἰς
this(-man) having-pitied her-too and those because-of her to
τὸ τοῦ θανάτου πτῶμα καταγομένους, θείᾳ προνοίᾳ
the of-the death fall being-brought-down by-divine providence
ἀναγαγὼν, πολλὰς μὲν καὶ ἄλλας ἐπιτηδεύσεις τεινόμενος,
having-brought-up many indeed also other practices exerting
ἐκ πλάνης ὁδοῦ πολλοὺς ἐῤῥύσατο. Καὶ νῦν δὲ ὡς
from (the)-error of-(the)-way many rescued and now too as
σοφὸς ἁλιευτὴς δέλεαρ περιθέμενος ἀπάτης, ἀγρεύει τὴν
(a)-wise fisherman (a)-bait having-put-on of-deceit he-hunts the
ἀμνάδα, ἐκσπάσαι τὴν αὐτῆς ψυχὴν ἐκ τοῦ στόματος τοῦ
lamb to-draw-out the her soul from the mouth of-the
διαβόλου. Ἐνδυσάμενος οὖν κοσμικὸν σχῆμα, ἔλαβε μεθ᾽
devil having-put-on then (a)-worldly garb he-took with

ἑαυτοῦ νόμισμα ἓν, καὶ ἀπῆλθε πρὸς αὐτήν. Παραγενόμενος
himself (a)-coin one and went-away to her having-arrived
οὖν, καὶ θεασάμενος αὐτὴν κεκαλλωπισμένην, τὸ μὲν
then and having-seen her adorned the indeed
πρόσωπον αὐτοῦ ἐδείκνυεν ἱλαρὸν, ἡ δὲ καρδία αὐτοῦ
face his he-showed cheerful the but heart his
περίλυπος γενομένη, καὶ ὑπὲρ αὐτῆς τὸν θεὸν παρεκάλει,
grieved having-become and for her — God he-entreated
εἶτα ἐξέβαλε τὸ νόμισμα ὡς ὀφείλων συγκαθευδῆσαι αὐτῇ.
then he-threw-out the coin as owing to-sleep-with her
Ἡ δὲ λαβοῦσα, εἶπε πρὸς αὐτόν· Εἰσέλθωμεν εἰς τὸ
she but having-taken(-it) said to him let-us-go-in into the
ταμιεῖον. Καὶ φησὶν αὐτός· Εἰσέλθωμεν. Εἰσελθόντων δὲ
chamber and says he let-us-go-in having-gone-in and
αὐτῶν, ὁρᾷ κλίνην ἐστρωμμένην ὑψηλὴν, εἰς ἣν ἀνελθοῦσα
they he-sees (a)-bed spread high onto which having-gone-up
ἐκείνη πρῶτον προσεκαλεῖτο τὸν τοῦ Χριστοῦ δοῦλον· Ὁ δὲ
she first called the — of-Christ servant he but
περιεσκόπει ὧδε κακεῖσε, αἰδούμενος δὲ λέγει πρὸς αὐτήν·
looked-around here and-there being-ashamed and says to her
Οὐκ ἔστι σοι ἕτερον κελλίον τούτου; Ἡ δὲ λέγει αὐτῷ·
not is-there to-you other (a)-room than-this she but says to-him
Ναί. Λέγει αὐτῇ ὁ γέρων. Ἐν αὐτῷ οὖν ἀπέλθωμεν καὶ
yes says to-her the old(-man) into it then let-us-go-away and
καθευδήσωμεν. Λέγει πρὸς αὐτόν· Τί θέλεις ἕτερον; εἰ μὲν
let-us-sleep she-says to him what do-you-want other if indeed
ἄνθρωπον αἰδούμενος δέδοικας ὧδε, οὐδείς ἐστιν ὁ
(a)-man being-ashamed-before you-fear here no-one is the(-one)
ἐφορῶν ἡμᾶς ἐν τῷ τόπῳ τούτῳ, εἰ δὲ τὸν θεὸν φοβῇ, ὅπου
watching us in the place this if but — God you-fear where
δ' ἄν εἰσέλθωμεν βλέπει ἡμᾶς ὁ τῶν κρυπτῶν γνώστης.
and — we-go-in sees us the of-the hidden(-things) knower

Ἀκούσας δὲ ὁ γέρων τὸν λόγον τοῦτον, εἶπε πρὸς αὐτήν·
having-heard and the old(-man) the word this said to her
Ὅλως οὖν οἶδας ὅτι ἔστι θεός; Λέγει αὐτῷ· Ναὶ οἶδα,
at-all then do-you-know that there-is (a)-god she-says to-him yes I-know
ὅτι θεὸς ἀληθινὸς ὑπάρχει ὁ βασιλεὺς τῶν αἰώνων, ὁ
that God true is the king of-the ages the(-one)
ζῶν ἐν οὐρανοῖς, ὅστις ἐνετείλατο καὶ ἐκτίσθησαν. Λέγει
living in heavens who commanded and they-were-created says
αὐτῇ πάλιν ὁ γέρων· Οἶδας, τέκνον, ὅτι καὶ βασιλεία τοῖς
to-her again the old(-man) do-you-know child that both (a)-kingdom for-the
δικαίοις ἡτοίμασται καὶ κόλασις τοῖς ἁμαρτωλοῖς, καὶ ὅτι
righteous has-been-prepared and punishment for-the sinners and that
ὁ θεὸς ἀποδώσει μετὰ θάνατον ἑκάστῳ κατὰ τὰ ἔργα
— God will-repay after death to-each according-to the works
αὐτοῦ; Λέγει αὐτῷ ἐκείνη· Ἀμυδρῶς ἐπίσταμαι, παῖς γὰρ
his says to-him she dimly I-know (a)-child for
οὖσα νήπιος ὡς ἔμαθον βεβάπτισμαι, καὶ οὐκ ἐμυήθην
being infant as I-learned I-have-been-baptized and not I-was-instructed
διδασκαλίας. Λέγει αὐτῇ ὁ γέρων· Εἰ οὖν οἶδας ταῦτα, τί
in-teaching says to-her the old(-man) if then you-know these-things why
οὕτως σεαυτὴν ἀπώλεσας καὶ τοὺς πολλοὺς τῶν ἀνθρώπων,
so yourself did-you-destroy and the many of-the men
οὐκ οἶδας ὅτι ὁ θάνατος αἰφνιδίως παρίσταται, καὶ
not do-you-know that the death suddenly stands-by and
οἵᾳ ὥρᾳ οὐ προσδοκᾷς ἔρχεται, καὶ ἀπέρχῃ μηδὲν τοῦ
in-what hour not you-expect it-comes and you-depart nothing of-the
βίου μεθ' ἑαυτῆς αἴρουσα εἰ μὴ τὰ πεπραγμένα καλά
life with yourself taking if not the(-things) done good
τε καὶ πονηρά; τί οὖν οὕτως ἀδεῶς ἁμαρτάνεις, ἢ ἆρα
both and evil why then so fearlessly do-you-sin or is-it-that
ὁ θάνατος τὸ κάλλος σου ᾐδέσθη; ἢ ὁ πλάσας
the death the beauty your respected or the(-one) having-formed

σε καὶ μέλλων κρίνειν συγγνώσεταί σοι, ἀπροσωπόληπτος
you and being-about to-judge will-pardon you impartial
ὢν δικαστὴς καὶ μήτε κολακείᾳ μήτε χρήμασι τὸ δίκαιον
being judge and neither by-flattery nor by-money the just
προδιδούς; εἰς τί ἡ συλλογὴ τῶν χρημάτων, μὴ τὴν
betraying for what (is)-the gathering of-the money not the
ψυχήν σου λυτροῦνται τῆς ἀνάγκης ἐκείνης;
soul your do-they-redeem from-the necessity that
Ἔφθασε δὲ εἰς αὐτὴν ἡ χάρις τοῦ θεοῦ, καὶ εἰς κατάνυξιν
came and to her the grace — of-God and to compunction
ἐλθοῦσα, ῥίπτει ἑαυτὴν εἰς τοὺς πόδας αὐτοῦ δακρύουσα
having-come she-throws herself at the feet his weeping
καὶ λέγουσα· Οἶδα ὅτι ἔστι μετάνοια τοῖς ἁμαρτάνουσιν,
and saying I-know that there-is repentance for-those sinning
ἀλλ᾽ ἐγὼ καὶ τὸ μέτρον τῆς μετανοίας ἐν τοῖς φθάσασί
but I even the measure of-the repentance in the having-overtaken
με κακοῖς ὑπερέβην. Εἰ δὲ ἔστι μοι ἔτι ἐλπὶς σωτηρίας,
me evils have-overstepped if but there-is for-me still hope of-salvation
χειραγώγησόν με ὡς ἀγαθὸς πατὴρ, ποιήσω γὰρ ὃ ἐὰν
lead-by-the-hand me as (a)-good father I-will-do for what —
προστάξῃς μοι, διότι ἐκ τοῦ θεοῦ ἄγγελός μοι ἀγαθὸς
you-command me because from — God (an)-angel to-me good
ἀπεστάλης· Λέγει αὐτῇ ὁ γέρων· Δεῦρο ἀκολούθει μοι, καὶ
you-were-sent says to-her the old(-man) come follow me and
ἃ ἐάν σοι εἴπω ποίησον, καὶ ποιεῖ ὁ θεὸς μετὰ τῆς ψυχῆς
what — to-you I-say do and does — God with the soul
σου ἔλεος, καὶ ἐξελεῖταί σε τῶν κακῶν. Συνέθετο οὖν ἡ
your mercy and will-rescue you from-the evils agreed then the
μακαρία ἕπεσθαι αὐτῷ καὶ ποιεῖν τὰ προσταττόμενα.
blessed(-woman) to-follow him and to-do the(-things) commanded
Καὶ σκοπήσασα περὶ τῶν χρημάτων αὐτῆς, ὡς οὐκ
and having-considered about the possessions her as not

ἀξίων ὄντων προχειρίσαι ἢ καρποφορῆσαι, λέγει αὐτῷ·
worthy being to-hand-out or to-make-fruitful she-says to-him
Συγχώρησόν μοι, κύριε, τρεῖς ὥρας, ὅπως ἀπελθοῦσα
allow me lord three hours that having-gone-away
διοικήσω τὰ κακῶς μοι πορισθέντα χρήματα, καὶ
I-may-dispose-of the(-things) evilly for-me procured possessions and
οὕτως πρᾶξον εἴ τι βούλει περὶ ἐμοῦ. Ὁ δὲ συνταξάμενος
so do if anything you-wish about me he but having-arranged
αὐτῇ τόπον τινὰ ὅπου περιμενεῖ αὐτήν, ἐπέτρεψεν ἀπελθεῖν.
with-her (a)-place certain where he-will-wait-for her permitted(-her) to-go-away
Ἀπελθοῦσα οὖν καὶ συναθροίσασα πάντα τὰ χρήματα τὰ
having-gone-away then and having-gathered all the possessions the(-ones)
πολλῆς τιμῆς ἄξια, ἔκαυσεν αὐτὰ μέσον τῆς πόλεως
of-much value worth she-burned them (in-the)-middle of-the city
λέγουσα· Δεῦτε ἴδετε πάντες οἱ μετ' ἐμοῦ πορνεύσαντες,
saying come see all those with me having-fornicated
τὰ κακῶς μοι κτισθέντα, ἐν ὀφθαλμοῖς ὑμῶν καιόμενα
the(-things) evilly for-me acquired before eyes your burning
τῇ ὥρᾳ ταύτῃ, πιστεύω γὰρ τῷ δεσπότῃ Χριστῷ, ὅτι οὕτως
at-the hour this I-believe for the master Christ that so
ἀναλώσει μου τὰς ἁμαρτίας, τῷ θείῳ αὐτοῦ πυρὶ, καὶ
he-will-consume my the sins with-the divine his fire and
καθαρίσει μου τὴν ψυχήν. Ἦν δὲ ἡ ὁλκὴ τοῦ χρυσίου λίτραι
will-cleanse my the soul was and the weight of-the gold pounds
διακόσιαι τὰ καέντα παρ' αὐτῆς. Οἱ οὖν θεωροῦντες
two-hundred the(-things) burned by her those then seeing
αὐτὴν, ἔλεγον ὅτι μαίνεται καὶ ἐλυποῦντο ἐπ' αὐτῇ.
her said that she-is-mad and grieved over her
Αὕτη δὲ ταῦτα διαπραξαμένη, εὐθέως τρέχει πρὸς τὸν
she and these-things having-accomplished at-once runs to the
γέροντα. Ὁ δὲ ἰδὼν αὐτὴν, χαίρων ὑπεδέξατο, καὶ
old(-man) he but having-seen her rejoicing received(-her) and

λαβόμενος τῆς χειρὸς αὐτῆς, εἰσῆλθεν εἰς μοναστήριον
having-taken-hold-of the hand her entered into (a)-monastery
γυναικῶν εὐλαβῶν· Καὶ ζητήσας μικρὸν κελλίον σκοτεινὸν
of-women pious and having-sought (a)-small cell dark
πάνυ, ἐνέκλεισεν αὐτὴν ἐν αὐτῷ, καθηλώσας τὴν θύραν καὶ
very he-shut-in her in it having-nailed-up the door and
σφραγίσας μολίβδῳ, ἐάσας μικρὰν τρύπην δι' ἧς τὰ
having-sealed(-it) with-lead having-left (a)-small hole through which the(-things)
πρὸς τροφὴν ἔμελλε δέχεσθαι. Καὶ παρήγγειλεν ὁ γέρων τῇ
for food she-was-to to-receive and charged the old(-man) the
μητρὶ τοῦ μοναστηρίου, ὥστε εὐχὴν ποιεῖσθαι ὑπὲρ αὐτῆς,
mother of-the monastery so-that (a)-prayer to-make for her
καὶ παρέχειν αὐτῇ ἡμέριον ἄρτον ἡμίλιτρον ξηρὸν, καὶ
and to-provide for-her daily bread (a)-half-pound dry and
ὕδατος ποτήριον ἕν. Εἶπε δὲ ἡ μακαρία διὰ τῆς θυρίδος·
of-water (a)-cup one said and the blessed(-woman) through the window
Κύριέ μου πάτερ, ποῦ ἔχω τὴν χρείαν μου ποιῆσαι τὴν
lord my father where am-I-to the need my to-do the
ἀναγκαίαν, ὅτι πανταχόθεν πέφρακται τὸ κελλίον; Λέγει αὐτῇ
necessary(-one) for on-every-side is-blocked the cell says to-her
ὁ γέρων· Ἐν τῷ κελλίῳ σου ποίησον τὴν χρείαν, μύρων
the old(-man) in the cell your do the need of-ointments
καὶ ἀρωμάτων ἀπήλαυσας, ἀνάσχου καὶ τῆς δυσωδίας ἵνα
and spices you-enjoyed bear also the stench that
εὖ σοι γένηται. Πάλιν λέγει πρὸς αὐτόν· Πῶς κελεύεις με
well for-you it-may-be again she-says to him how do-you-bid me
εὔχεσθαι; φοβοῦμαι γὰρ ὅτι ἀναξία εἰμί. Λέγει αὐτῇ· Κἀγὼ
to-pray I-fear for that unworthy I-am he-says to-her and-I
οἶδα ὅτι ἀναξία εἶ ὀνομάσαι τὸ ὄνομα τοῦ κυρίου, ἢ
know that unworthy you-are to-name the name of-the lord or
ἁπλῶσαι τὰς χεῖρας σου εἰς δέησιν αὐτοῦ, διότι τὰ χείλη
to-spread the hands your in supplication of-him because the lips

σου ῥυπαρά εἰσι, καὶ αἱ χεῖρές σου ἄναγνοι ὑπάρχουσι, διὸ
your filthy are and the hands your impure are therefore
σιγῇ μόνον καθέζου, προσέχουσα κατὰ ἀνατολὰς καὶ μηδὲν
in-silence only sit attending toward (the)-east and nothing
ἄλλο λέγε ἐν τῇ καρδίᾳ σου, ἢ τοῦτο· Ὁ πλάσας
other say in the heart your than this the(-one) having-formed
με, ἐλέησόν με. ἥμαρτον, ἱλάσθητί μοι. Καὶ ποιήσας
me have-mercy-on me I-have-sinned be-merciful to-me and having-made
εὐχὴν, καὶ παραθέμενος αὐτὴν τῷ κυρίῳ, ἀνεχώρησεν.
(a)-prayer and having-entrusted her to-the lord he-withdrew
Ἐποίησεν οὖν ἡ μακαρία ἐν ἐκείνῳ τῷ σκοτεινῷ κελλίῳ
she-spent then the blessed(-woman) in that the dark cell
ὡς ἐν τάφῳ τρία ἔτη, πολλὴν ἄσκησιν καὶ κακοπάθειαν
as in (a)-tomb three years much asceticism and hardship
ὑπομείνασα, καὶ πολλοὺς καὶ διαφόρους πειρασμοὺς
having-endured and many and various trials
ὑποστάσα, ὑπαχθέντας αὐτῇ ὑπὸ τοῦ μισοκάλου ἐχθροῦ,
having-undergone brought-upon her by the good-hating enemy
τοῦ ἀεὶ τὴν σωτηρίαν τῶν ἀνθρώπων βασκαίνοντος.
the(-one) always the salvation of-the men envying
Τῆς δὲ χάριτος αὐτὴν σκεπούσης, νικηφόρος ἀνεδείχθη,
the but grace her sheltering victorious she-was-shown
καὶ πάσας τὰς μηχανὰς τοῦ διαβόλου κατεπάτησεν, ὡς
and all the devices of-the devil she-trampled as
τελευταῖον μεμαθήκαμεν παρὰ τῆς ἡγουμένης.
finally we-have-learned from the abbess
Μετὰ ταῦτα σπλαγχνισθεὶς ὁ ἀββᾶς Σαραπίων,
after these-things having-been-moved-to-pity the abba Sarapion
ὑπάγει πρὸς τὸν μακάριον Ἀντώνιον, μαθεῖν παρ᾽ αὐτοῦ
goes to the blessed Antony to-learn from him
εἰ συνεχώρησεν αὐτῇ ὁ θεὸς, καὶ ἐν τίνι συνέστη.
whether had-pardoned her — God and in what(-state) she-stood

Παραγενόμενος δὲ πρὸς αὐτὸν, εἶπεν αὐτῷ τὰ περὶ
having-come and to him he-told him the(-things) about
αὐτῆς. Εὐθέως δὲ καλέσας τοὺς μαθητὰς αὐτοῦ ὁ μέγας
her at-once and having-called the disciples his the great
Ἀντώνιος, εἶπε πρὸς αὐτούς· Ἐγκλείσατε ἕκαστος ὑμῶν
Antony said to them shut-in each of-you
ἑαυτὸν εἰς τὸ κελλίον αὐτοῦ ὅλην τὴν νύκτα, καὶ εὔξασθε
himself in the cell his whole the night and pray
ἐκτενῶς εἴ πως ἴδωμεν τὴν ἀποκάλυψιν, εἰ ἀποκαλύψει
earnestly if somehow we-may-see the revelation whether will-reveal
ὁ θεὸς τὸ πρᾶγμα δι' οὗ ἦλθεν ὁ ἀββᾶς Σαραπίων.
— God the matter for which came the abba Sarapion
Ποιήσαντες οὖν ὡς ἐκέλευσεν ὁ πατὴρ, καὶ πολλῆς ὥρας
having-done then as commanded the father and much time
διελθούσης, προσέχει ὁ ἀββᾶς Παῦλος, ὁ μειζότερος τῶν
having-passed watches the abba Paul the greater of-the
μαθητῶν τοῦ γέροντος, καὶ ὁρᾷ κλίνην ἐστρωμμένην,
disciples of-the old(-man) and sees (a)-bed spread
ἔνδοξον, χρυσοφανῆ, καὶ τρεῖς παρθένους λαμπάδας
glorious gold-shining and three virgins lamps
κρατούσας ἔμπροσθεν τῆς κλίνης παραφυλάττουσαι αὐτὴν,
holding before the bed guarding it
καὶ στέφανος ἀμαράντινος διὰ μαργαριτῶν καὶ χρυσίου
and (a)-crown unfading with pearls and gold
ὡραϊζόμενος. Καὶ αὐτὴν τὴν κλίνην κεκοσμημένην. Ἰδὼν
adorned and very the bed adorned having-seen
δὲ αὐτὴν λέγει· Οὐδενὸς ἄλλου ἐστὶν ἡ δόξα τῆς κλίνης
and it he-says of-no-one other is the glory of-the bed
ταύτης καὶ ὁ στέφανος οὗτος εἰ μὴ τοῦ ἀββᾶ Ἀντωνίου
this and the crown this if not of-the abba Antony
τοῦ πνευματικοῦ μου πατέρος. Ἦλθε δὲ αὐτῷ φωνή· Οὐκ
the spiritual my father came and to-him (a)-voice not

ἔστι τοῦ ἀββᾶ Ἀντωνίου τοῦ πατρός σου, ἀλλὰ Ταϊσίας
it-is of-the abba Antony the father your but of-Taisia
τῆς πόρνης ἐστὶ τὰ ὁρώμενά σοι ταῦτα. Πρωΐας οὖν
the harlot are the(-things) seen by-you these morning then
γενομένης, διηγήσατο αὐτοῖς τὸ ὅραμα, οἱ δὲ ἐχάρησαν
having-come he-related to-them the vision they but rejoiced
ἀκούσαντες, καὶ ἐδόξασαν τὸν φιλάνθρωπον θεόν.
having-heard and glorified the loving-mankind God
Καὶ ὑποστρέψας ὁ μέγας Σαραπίων ἐν ἀγαλλιάσει
and having-returned the great Sarapion in exultation
πνεύματος, εἰσῆλθεν εἰς τὸ μοναστήριον τῶν παρθένων, καὶ
of-spirit entered into the monastery of-the virgins and
ἐποίησεν εὐχὴν, καὶ ἀσπασάμενος αὐτὴν τὸν πνευματικὸν
made (a)-prayer and having-greeted her the spiritual
ἀσπασμόν, καὶ ἀνοίξας τὴν θυρίδα, ἠθέλησεν αὐτὴν
greeting and having-opened the window wished her
ἐκβαλεῖν, αὐτὴ δὲ μαθοῦσα παρεκάλει αὐτὸν λέγουσα·
to-bring-out she but having-learned urged him saying
Ἔασον οὕτως, πάτερ, ἕως θανάτου μου ἐν τῷ κελλίῳ
let(-me-be) so father until death my in the cell
τούτῳ, πολλαὶ γάρ μου εἰσὶν αἱ ἁμαρτίαι, ἴσως ἴδῃ
this many for my are the sins perhaps may-see
ὁ θεὸς τὴν ταπείνωσίν μου, καὶ ἀφήσει πάσας τὰς
— God the humiliation my and he-will-forgive all the
ἁμαρτίας μου. Λέγει πρὸς αὐτὴν ὁ γέρων· Εὔθυμος
sins my says to her the old(-man) of-good-cheer
γενοῦ, ἤδη γὰρ ὁ φιλάνθρωπος θεὸς ἐσπλαγχνίσθη περὶ
become already for the loving-mankind God has-had-compassion on
σοῦ καὶ προσεδέξατο τὴν μετάνοιάν σου, ἔξελθε καὶ ἔσο
you and has-accepted the repentance your come-out and be
μετὰ τῶν παρθένων. Ὑπήκουσε δὲ αὐτοῦ καὶ ἐξῆλθεν
with the virgins she-obeyed and him and she-came-out

ἐκ τοῦ κελλίου, καὶ λέγει τῷ γέροντι· Πίστευσόν μοι,
from the cell and says to-the old(-man) believe me
πάτερ ὅσιε, ὅτι αἱ ἅγιαί σου εὐχαὶ ἐνεδυνάμωσάν με καὶ
father holy that the holy your prayers strengthened me and
ἐφύλαξαν, ἔφερον γὰρ εἰς τὸν λογισμόν μου τὰς ἁμαρτίας
guarded(-me) I-carried for into the mind my the sins
μου ἃς ἔπραξα, καὶ ὡς φορτίον βαρὺ ἐγένοντό μοι. Καὶ
my which I-did and as (a)-burden heavy they-became to-me and
ἔλεγον ἐν τῇ καρδίᾳ μου ὅπερ ἤκουσα ψαλλόντων αὐτῶν,
I-said in the heart my what I-heard singing them
προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου
stank and festered the wounds my from (the)-face
τῆς ἀφροσύνης μου, ὡς κυρίως τοῦ στίχου δι' ἐμὲ
of-the folly my as properly the verse because-of me
εἰρημένου. Καὶ ὁ μὲν διάβολος εἰς ἀπογνωσίν με ἔφερεν,
spoken and the indeed devil into despair me drove
ἐγὼ δὲ εἰς τοὺς οἰκτιρμοὺς ἀποβλέπουσα τοῦ θεοῦ οὐ
I but to the compassions looking — of-God not
παρεδεξάμην τὴν τοιαύτην αὐτοῦ συμβουλίαν. Εὖξαι ὑπὲρ
accepted the such his counsel pray for
ἐμοῦ ἵνα ῥυσθῶ πάλιν τῆς αὐτοῦ ἐπιβουλῆς.
me that I-may-be-delivered again from-the his plot
Ἦν δὲ καταπεπονημένη καὶ τεταριχευμένη τῷ σώματι
she-was and worn-out and dried-up in-the body
ἐκ τῆς ἀσκήσεως καὶ σκληραγωγίας, ὡς καὶ τὰς
from the asceticism and hardship so-that even the
ἁρμονίας τῶν ὀστέων αὐτῆς διαφανεῖς γενέσθαι, καὶ τὸ
joints of-the bones her transparent to-become and the
κάλλος ἀχρειωθῆναι οὕτως, ὡς μὴ ἐπιγινώσκεσθαι ἐκ τοῦ
beauty to-be-spoiled so that not to-be-recognized from the
προσώπου εἰ ἐκείνη ἐστὶν ἡ ἐν τοσαύτῃ τυγχάνουσα
face whether she is the(-one) in such being

ὡραιότητι. Εὐκαίρως πάντως ἐπὶ ταύτῃ πεπλήρωται τὸ
beauty fittingly surely in her has-been-fulfilled the
λόγιον· Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερεπερίσσευσεν ἡ
oracle where abounded the sin superabounded the
χάρις, ὅσον γὰρ κατὰ τὸ σωματικὸν κάλλος ὑπὲρ
grace as-much-as for according-to the bodily beauty above
πολλῶν γυναικῶν ὑπερεῖχεν ἐν μιασμῷ, τοσοῦτον καὶ εἰς
many women she-excelled in defilement so-much also to
τὸ πνευματικὸν μετῆλθε παρὰ πολλὰς τῶν εὐσεβῶν, τὴν
the spiritual(-realm) she-passed beyond many of-the pious the
ψυχὴν ἑαυτῆς ταῖς ἀρεταῖς κατεκόσμησεν. Ὅσον γὰρ
soul her-own with-the virtues she-adorned as-much-as for
ὁ ἔξω αὐτῆς ἄνθρωπος διεφθείρετο, τοσοῦτον ὁ ἔσω
the outer her man was-corrupted so-much the inner(-one)
ἀνεκαινίζετο καὶ ἐλαμπρύνετο ἡμέραν ἐξ ἡμέρας, πεπλήρωτο
was-renewed and shone day by day had-been-fulfilled
καὶ ἐπὶ τῆς μακαρίας ταύτης τὸ θεῖον λόγιον τὸ
also in-the-case-of the blessed this(-woman) the divine oracle the(-one)
λεχθὲν πρὸς τοὺς Φαρισαίους· Ὅτι αἱ πόρναι καὶ οἱ
spoken to the Pharisees that the harlots and the
τελῶναι προάξουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
tax-collectors will-go-before you into the kingdom of-the heavens
Λέγει οὖν πρὸς αὐτὴν ὁ μακάριος Σαραπίων· Εὖ οἶδα καὶ
says then to her the blessed Sarapion well I-know and
πέπεισμαι, ὅτι οὐ μόνον διὰ τὸν τοῦ σώματός σου κόπον
am-persuaded that not only because-of the of-the body your toil
καὶ τὴν ἄσκησιν συνεχώρησέ σοι ὁ θεὸς τὰς ἁμαρτίας
and the asceticism forgave you — God the sins
σου, ἀλλὰ καὶ διὰ τὸν λογισμόν σου τὸν ἀγαθὸν
your but also because-of the thought your the good
τῆς ταπεινοφροσύνης, καρδίαν γὰρ συντετριμμένην καὶ
of-the humility (a)-heart for broken and

τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει, ἀλλ' ὡς θυσίαν
humbled — God not will-despise but as (a)-sacrifice
ἀγαθὴν προσδέχεται αὐτήν· διὰ οὖν τὴν φιλανθρωπίαν
good he-accepts it because-of then the love-for-mankind
αὐτοῦ, οὐ μόνον τὰς ἁμαρτίας σου συνεχώρησεν, ἀλλὰ
his not only the sins your he-forgave but
καὶ κλῆρον ἡτοίμασέ σοι σὺν τοῖς ἡγιασμένοις πᾶσιν.
also (a)-portion he-prepared for-you with the sanctified all
Ἐποίησεν οὖν μετὰ τὸ ἐξελθεῖν τοῦ κελλίου, αὐτῆς μετὰ
she-spent then after the to-come-out from-the cell her with
τῶν παρθένων ἡμέρας δεκαπέντε, καὶ μετὰ ταῦτα τὰς
the virgins days fifteen and after these the
ἄλλας τρεῖς ἡμέρας ἠῤῥώστησε, καὶ ἐπλήρωσε τὸν βίον
other three days she-fell-ill and completed the life
αὐτῆς, κοιμηθεῖσα καλῶς ἐν κυρίῳ, καὶ προεκομίσθη
her having-fallen-asleep well in (the)-lord and was-carried-out
ἐντίμως καὶ ἐνδόξως ὑφ' ὁσίων ἀνδρῶν καὶ εὐλαβῶν.
honorably and gloriously by holy men and pious
Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ πάντας ἀνθρώπους
by-grace and love-for-mankind of-the(-one) all men
βουλομένου σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν,
wishing to-be-saved and to (the)-knowledge of-truth to-come
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ
of-the lord our Jesus Christ to-whom (be)-the glory and
τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
the might unto the ages of-the ages amen

SOPHRONIUS OF JERUSALEM

ΒΙΟΣ ΜΑΡΙΑΣ ΑΙΓΥΠΤΙΑΣ

The Life of Mary of Egypt

The writer opens with the angel's word to Tobit: it is perilous to keep God's works secret. Zosimas, raised from infancy in a Palestinian monastery and famed for his asceticism, wondered at fifty-three whether anyone could teach him more; told to go to a monastery by the Jordan, he found monks who at the start of Lent crossed the river and spent the fast alone in the desert, each telling no one what he had done.

Μυστήριον βασιλέως κρύπτειν καλὸν, τὰ δὲ ἔργα τοῦ 1
(the)-secret of-(a)-king to-hide (is)-good the but works —
Θεοῦ ἀνακηρύττειν ἔνδοξον· οὕτω γὰρ εἶπεν ὁ ἄγγελος
of-God to-proclaim (is)-glorious so for said the angel
τῷ Τωβὶτ, μετὰ τὴν παράδοξον τὴν ἐκ τυφλώσεως τῶν
— to-Tobit after the wondrous the from blindness of-the
ὀμμάτων ἀνάβλεψιν, καὶ μετ᾽ ἐκείνους τοὺς κινδύνους, οὓς
eyes recovery-of-sight and after those the dangers which
διῆλθε, καὶ ὧν ἐρρύσθη, δι᾽ ἣν εἶχεν εὐσέβειαν.
he-went-through and from-which he-was-rescued because-of which he-had piety
Καὶ γὰρ τὸ βασιλέως μὴ φυλάττειν μυστήριον,
and for the(-thing) of-(a)-king not to-keep (the)-secret
ἐπισφαλὲς καὶ ἀπόλεθρον. Καὶ τὸ σιγᾷν Θεοῦ
(is)-perilous and ruinous and the(-thing) to-keep-silent-about of-God
ἔργα παράδοξα, ψυχῆς φέρει τὸν κίνδυνον. Ὅθεν κἀγὼ
works wondrous to-(the)-soul brings the danger whence I-too
φόβῳ τοῦ σιωπᾷν τὰ θεῖα βαλλόμενος, καὶ τὸν
by-fear of-the to-keep-silent-about the divine(-things) being-struck and the
ἐπηρτημένον κίνδυνον τῷ δούλῳ, ὑφορώμενος, ὃς λαβὼν
impending danger to-the servant suspecting who having-received
ὑπὸ τοῦ δεσπότου τὸ τάλαντον, εἰς γῆν ἐκεῖνο κατώρυξεν,
from the master the talent in earth that buried
καὶ τὸ δοθὲν εἰς ἐργασίαν ἔκρυψεν ἀπραγμάτευτον·
and the(-thing) given for work hid unused

ἐξήγησιν ἱερὰν, ἕως ἐμοῦ καταντήσασαν, οὐδαμῶς
(a)-narrative sacred to me having-come by-no-means
σιωπήσομαι. Καί μοι μηδεὶς ἀπιστείτω ἅπερ ἀκήκοα
I-will-keep-silent and to-me let-no-one disbelieve what I-have-heard
γράφοντι, ἢ ἐμὲ τερατεύεσθαι τὸ παράπαν ἡγούμενος, ἢ
writing either me to-tell-marvels — altogether thinking or
τοῦ πράγματος τῷ μεγέθει πληττόμενος· ἐμοὶ μὲν γὰρ
of-the matter by-the greatness being-struck to-me indeed for
μὴ γένοιτο καταψεύσασθαι καὶ καπηλεύεσθαι λόγον, ἐν ᾧ
not may-it-be to-lie and to-peddle (a)-word in which
Θεοῦ μνημονεύεται. Καὶ τὸ σμικρὰ δὲ φρονεῖν καὶ
of-God is-mentioned and the(-thing) small(-things) and to-think and
ἀναξία τῆς τοῦ σαρκωθέντος Θεοῦ Λόγου μεγαλειότητος,
unworthy of-the of-the incarnate God Word greatness
καὶ ἀπιστεῖν τοῖς οὕτω λεγομένοις, οὔ μοι δοκεῖ ἔχειν τὸ
and to-disbelieve the(-things) so said not to-me seems to-have the
εὔλογον· εἰ δέ τινες εἰσὶν οἱ τῇδε τῇ γραφῇ ἐντυγχάνοντες,
reasonableness if but some are those this the writing coming-upon
καὶ τὸ παράδοξον τοῦ λόγου δῆθεν καταπληττόμενοι,
and the paradox of-the story forsooth being-astounded-at
καὶ πιστεύειν ἐπιχειρῶς οὐκ ἐθέλοντες, κἀκείνοις ἵλεως
and to-believe readily not wishing to-them-too merciful
γένηται Κύριος, ἐπειδήπερ καὶ αὐτοὶ τὸ ἀσθενὲς τῆς
may-become (the)-Lord since also they the weakness of-the
ἀνθρωπίνης φύσεως λογιζόμενοι, δυσπαράδεκτα ἡγοῦνται
human nature reckoning hard-to-accept consider
τὰ παραδόξως πως περὶ ἀνθρώπων λεγόμενα. Εἶμι
the(-things) wondrously somehow about men said I-will-go
δὲ λοιπὸν ἐπ᾽ αὐτὴν τὴν διήγησιν, πρᾶγμα λέξεων ἐν
and further to very the narrative (a)-matter of-words in
τῇ γενεᾷ τῇ καθ᾽ ἡμᾶς γεινάμενον. Ὅπερ ἱερὸς ἀνὴρ,
the generation the(-one) of us having-happened which (a)-holy man

τὰ θεῖα λέγειν καὶ πράττειν ἐκπαιδόθεν μεμαθηκὼς,
the divine(-things) to-say and to-do from-childhood having-learned
ἀφηγήσατο. Ἀλλὰ μηδὲ τοῦτο πρὸς ἀπιστίαν ἑλκύσῃ τοὺς
related but not-even this to disbelief let-it-draw those
ἐντυγχάνοντας, τὸ ἐν τῇ καθ' ἡμᾶς γενεᾷ θαῦμα τοιοῦτον
coming-upon(-it) the in the of us generation wonder such
ἡγουμένους γενέσθαι ἀδύνατον· ἡ γὰρ χάρις τοῦ Πατρὸς
thinking to-happen impossible the for grace of-the Father
κατὰ γενεὰν εἰς ψυχὰς ὁσίας διαβαίνουσα, φίλους Θεοῦ
in each-generation to souls holy passing friends of-God
καὶ προφήτας κατασκευάζει, καθὼς ἐδίδαξεν ὁ Σολομῶν.
and prophets makes as taught — Solomon
Καιρὸς δὲ λοιπὸν τῆς ἱερᾶς ἐκείνης ἀπάρξασθαι διηγήσεως.
(the)-time and further of-the sacred that to-begin narrative
Ἐγένετό τις ἐν τοῖς κατὰ Παλαιστίνην μοναστηρίοις 2
there-was (a)-certain in the in Palestine monasteries
ἀνὴρ, βίῳ καὶ λόγῳ κοσμούμενος, ὃς ἐκ σπαργάνων
man in-life and in-word adorned who from swaddling-clothes
αὐτῶν τοῖς μοναχικοῖς ἀνετράφη ἤθεσί τε καὶ πράγμασι
very in-the monastic was-brought-up ways both and deeds
Ζωσιμᾶς ἦν ὄνομα τούτῳ τῷ γέροντι.
Zosimas was (the)-name to-this the old(-man)
Καὶ μή τις τῇ ἐπωνυμίᾳ, νομισάτω με ἐκεῖνον λέγειν
and not anyone by-the name let-him-think me that(-one) to-mean
τὸν Ζωσιμᾶν, τὸν ἐν δόγμασί ποτε διαβληθέντα ὡς
— Zosimas the(-one) in doctrines once accused as
ἑτερόδοξον· ἄλλος γὰρ οὗτος, καὶ ἄλλος ἐκεῖνος, καὶ πολὺ
heterodox other for this(-one) and other that(-one) and much
τὸ μεταξὺ τῶν δύο τὸ διάφορον, εἰ καὶ μίαν ἐκέκτηντο
the between the two the difference if even one they-possessed
τὴν προσηγορίαν ἀμφότεροι. Οὗτος τοίνυν ὁ Ζωσιμᾶς
the name both this then — Zosimas

ὀρθόδοξος, ὃς ἐμόνασεν ἀρχῆθεν ἔν τινι τῶν πάλαι
(was)-orthodox who was-a-monk from-the-beginning in some of-the ancient
μοναστηρίων, πᾶν εἶδος ἀσκήσεως μετερχόμενος, καὶ πρὸς
monasteries every kind of-asceticism pursuing and for
πᾶσαν ἐγκράτειαν γενόμενος ἐπιτήδειος· πάντα μὲν γὰρ
all continence having-become fit every indeed for
κανόνα παραδεδομένον ὑπὸ τῶν πρὸς τὴν τοιαύτην αὐτῶν
rule handed-down by those for the such their
παλαίστραν παιδοτριβησάντων ἐφύλαττεν, πολλὰ δὲ καὶ
wrestling-school having-trained(-them) he-kept many(-things) and also
αὐτὸς προσεπενόησεν οἴκοθεν, ὑποτάξαι ζητῶν τὴν σάρκα
he-himself devised-besides from-himself to-subject seeking the flesh
τῷ πνεύματι. Καί γε τοῦ σκοποῦ οὐ διήμαρτεν· οὕτω
to-the spirit and indeed of-the aim not he-missed so
γὰρ ἦν ὁ γέρων [ἐπίσημος] περὶ τὸ πνευματικὸν, ὡς
for was the old(-man) distinguished in the spiritual(-life) that
πολλοὺς πολλάκις τῶν ἐγγύθεν μοναστηρίων, ἔστι δὲ ὅτε
many often of-the nearby monasteries it-is and when
καὶ τῶν μακρὰν ἀπεχόντων, φοιτᾷν πρὸς αὐτὸν, καὶ πρὸς
also of-those far being-distant to-come to him and to
ἐγκράτειαν ὑπὸ τῆς ἐκείνου διδασκαλίας τυποῦσθαι [καὶ
continence by the his teaching to-be-formed and
κανονίζεσθαι]. Καίπερ δὲ οὕτως ἔχων περὶ τὸ πρακτικὸν
to-be-regulated although and so being in the active
εἶδος ὁ γέρων, οὐδὲ τῆς μελέτης τῶν θείων Λογίων ποτὲ
kind the old(-man) not-even the study of-the divine Oracles ever
παρημέλησεν· ἀλλὰ καὶ κοιταζόμενος, καὶ ἀνιστάμενος, καὶ
neglected but both lying-down and rising-up and
ἐν χερσὶ κρατῶν τὸ ἐργόχειρον, ὅθεν τὴν τροφὴν ἐπορίζετο.
in hands holding the handiwork whence the food he-provided
Εἰ δὲ θέλεις μαθεῖν τῆς τροφῆς, ἧς ἐκεῖνος ἐγεύετο, ἓν
if and you-wish to-learn of-the food which he tasted one

ἔργον εἶχεν ἐκεῖνος ἀσίγητον, μηδέ ποτε δαπανώμενον,
work he-had he ceaseless never ever spent
τὸ ψάλλειν διὰ παντὸς, καὶ μελέτην ἀεὶ ποιεῖσθαι τῶν
the to-sing through all and study always to-make of-the
ἱερῶν Λογίων. Πολλάκις γοῦν φασί τινες καὶ θείας
sacred Oracles often at-any-rate say some also of-divine
ὁράσεως ἀξιοῦσθαι τὸν γέροντα θεόθεν αὐτῷ γειναμένης
vision to-be-deemed-worthy the old(-man) from-God to-him having-come
ἐλλάμψεως, καθάπερ ὁ Κύριος εἶπεν, Οἱ τὴν σάρκα δηλαδὴ
illumination as the Lord said those the flesh namely
τὴν ἑαυτῶν ἐκκαθάραντες, καὶ νήφοντες ἀεὶ ἐγρηγορότι τῷ
the their-own having-cleansed and being-sober always with-wakeful the
τῆς ψυχῆς αὐτῶν ὄμματι, ὁρῶσι θείας ἐλλάμψεως ὁράσεις,
of-the soul their eye see of-divine illumination visions
ἀῤῥαβῶνας ἐντεῦθεν τοῦ μένοντος αὐτοὺς καλοῦ κομιζόμενοι.
pledges hence of-the awaiting them good receiving
Ἔλεγεν οὖν ὁ Ζωσιμᾶς, ἐξ αὐτῶν εἰπεῖν τῶν πατρικῶν 3
used-to-say then — Zosimas from very to-speak-so the paternal
ἀγκαλῶν ἐν τῷ μοναστηρίῳ τούτῳ δεδόσθαι, καὶ μέχρι
arms to the monastery this to-have-been-given and until
τρίτου καὶ πεντηκοστοῦ ἔτους ἐν αὐτῷ τὸν δρόμον τὸν
(the)-third and fiftieth year in it the course the
ἀσκητικὸν ἠνυκέναι. Μετὰ δὲ ταῦτα παρενωχλήθη, ὡς
ascetic to-have-completed after and these-things he-was-troubled as
ἔφασκεν, ὑπό τινων λογισμῶν, ὡς ἄρα τελειούμενος ἐν
he-said by some thoughts as then being-perfected in
ἅπασι, τῆς ἑτέρου διδασκαλίας οὐδαμῶς προσδεόμενος·
all(-things) of-the another's teaching by-no-means needing
ταῦτα γὰρ, ὡς ἔλεγεν, καθ' ἑαυτὸν ἐλογίζετο. Ἀράγε
these-things for as he-said by himself he-reasoned —
ἔστιν ἐν τῇ γῇ μοναχὸς, ὁ δυνάμενος ξένον τι
is-there in the earth (a)-monk the(-one) able strange anything

παραδοῦναί μοι, ἢ ὠφελῆσαί με ἰσχύων, ὅπερ οὐκ οἶδα,
to-hand-down to-me or to-benefit me being-able which not I-know
οὐδὲ πέπραχα, εἶδος ἀσκήσεως; ἆρα εὑρίσκεται τῶν ἐν
nor have-done (a)-kind of-asceticism — is-there-found of-those in
ἐρήμῳ φιλοσοφούντων ἀνὴρ ὃς κατὰ πρᾶξιν ἢ θεωρίαν
(the)-desert philosophizing (a)-man who in practice or contemplation
πρωτεύει μου; Ταῦτα δὲ λογιζομένου τοῦ γέροντος,
surpasses me these-things and reasoning the old(-man)
ἐφίσταταί τις αὐτῷ καί φησι πρὸς αὐτόν· Ὦ Ζωσιμᾶ,
stands-by someone him and says to him O Zosimas
καλῶς μὲν καὶ ὡς ἦν δυνατὸν ἀνθρώπῳ ἠγώνισαι,
well indeed and as it-was possible for-(a)-man you-have-contended
καλῶς δὲ καὶ τὸν ἀσκητικὸν δρόμον διήνυσας· πλὴν
well and also the ascetic course you-have-completed but
οὐδεὶς τῶν ἐν ἀνθρώποις ἐστὶν ἔχων τὸ τέλειον,
no-one of-those among men is having the perfection
ἀλλὰ μείζων ἐστὶν ὁ ἀγὼν ὁ προκείμενος τοῦ
but greater is the contest the(-one) lying-ahead than-the(-one)
παρῳχηκότος ἤδη, κἂν ὑμεῖς οὐ γινώσκετε. Ἵνα γνῷς
past already even-if you not know that you-may-know
καὶ αὐτὸς οὖν, πόσαι εἰσὶ καὶ ἄλλαι πρὸς σωτηρίαν ὁδοὶ,
also yourself then how-many are also other to salvation ways
ἔξελθε ἐκ τῆς γῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου
go-out from the land of-kinship your and from the house
τοῦ πατρός σου, καθάπερ Ἀβραὰμ ἐκεῖνος ὁ ἐν
of-the father your like Abraham that the(-one) among
πατριάρχαις αἰδέσιμος, καὶ δεῦρο εἰς τόδε τὸ μοναστήριον,
patriarchs revered and come to this the monastery
τὸ πλησίον Ἰορδάνου τοῦ ποταμοῦ διακείμενον.
the(-one) near Jordan the river situated

Αὐτίκα γοῦν ὁ γέρων, ἀκολουθῶν τῷ κελεύσματι, ἐξίησι 4
at-once then the old(-man) following the command goes-out
τοῦ μοναστηρίου, ἐν ᾧ ἐκπαιδόθεν ἐμόνασε· καὶ
from-the monastery in which from-childhood he-had-been-a-monk and
καταλαβὼν Ἰορδάνην τὸν ἐν ποταμοῖς ἁγιώτατον,
having-reached Jordan the among rivers most-holy
ὁδηγεῖται ὑπὸ τοῦ κελεύσαντος αὐτὸν εἰς ἐκεῖνο τὸ
is-guided by the(-one) having-commanded him to that the
μοναστήριον, εἰς ὃ ὁ Θεὸς αὐτὸν γενέσθαι παρεκελεύσατο.
monastery into which — God him to-be bade
Κρούσας τοίνυν τῇ χειρὶ [τῆς αὐλῆς] ἐντυγχάνει
having-knocked then with-the hand at-the court he-meets
πρῶτον μοναχῷ τῷ τὴν θύραν φυλάττοντι· ἐκεῖνος δὲ
first (a)-monk the(-one) the door guarding he and
αὐτὸν μηνύει πρὸς τὸν ἡγούμενον· ὁ δὲ τοῦτον δεξάμενος,
him announces to the abbot he but him having-received
σχῆμά τε καὶ ἦθος εὐλαβείας θεασάμενος, βαλόντα
(the)-bearing both and character of-piety having-seen having-made
τὴν συνήθη τοῖς μοναχοῖς μετάνοιαν καὶ λαβόντα εὐχὴν,
the customary for-the monks prostration and having-received (a)-prayer
ἠρώτησεν αὐτόν· Πόθεν, ἀδελφὲ, παραγέγονας, καὶ τίνος
asked him from-where brother have-you-come and of-what
ἕνεκα πρὸς τοὺς ταπεινοὺς ἐλήλυθας γέροντας; Ὁ
for-the-sake-of to the humble have-you-come old-men —
δὲ Ζωσιμᾶς ἀπεκρίνατο, Τὸ μὲν πόθεν, λέγειν οὐκ
and Zosimas answered the(-thing) indeed whence to-say not
ἀναγκαῖόν μοι· ὠφελείας δὲ χάριν, ὦ Πάτερ, ἐλήλυθα·
(is)-necessary for-me of-benefit but for-the-sake-of O Father I-have-come
ἀκήκοα γὰρ περὶ ὑμῶν ἔνδοξα καὶ ἀξιέπαινα, δυνάμενα
I-have-heard for about you glorious(-things) and praiseworthy able
ψυχὴν προσοικειῶσαι Χριστῷ τῷ Θεῷ ἡμῶν. Εἶπε δὲ
(a)-soul to-bring-near to-Christ — God our said and

πρὸς αὐτὸν ὁ ἡγούμενος, Ὁ Θεὸς, ἀδελφὲ, ὁ μόνος
to him the abbot — God brother the(-one) alone
ἰώμενος τὴν ἀνθρωπίνην ἀσθένειαν, αὐτὸς καὶ σὲ καὶ ἡμᾶς
healing the human weakness he both you and us
διδάξει τὰ θεῖα θελήματα, καὶ ὁδηγήσει εἰς τὸ ποιεῖν
will-teach the divine wills and will-guide to the(-thing) to-do
τὰ προσήκοντα· ἄνθρωπος γὰρ ἄνθρωπον ὠφελῆσαι
the(-things) fitting (a)-man for (a)-man to-benefit
οὐ δύναται, εἰ μὴ ἕκαστος ἑαυτῷ προσέχοι διαπαντὸς
not can if not each to-himself attend continually
καὶ νήφοντι τῷ νῷ τὸ δέον ἐργάζοιτο, Θεὸν κεκτημένος
and with-sober the mind the needful work God having-acquired
τῶν πραττομένων συλλήπτορα. Πλὴν ἐπείπερ, ὡς ἔφης,
of-the things-done (as)-helper but since as you-said
ἡ ἀγάπη τοῦ Θεοῦ θεάσασθαι ὑμᾶς τοὺς ταπεινοὺς
the love — of-God to-see you the humble
κεκίνηκεν γέροντας, μεῖνον μεθ' ἡμῶν εἴπερ τούτου
has-moved old-men stay with us if-indeed for-this
παραγέγονας ἕνεκα, καὶ πάντας ἡμᾶς διαθρέψει, τῇ
you-have-come for-the-sake-of and all us will-nourish by-the
τοῦ Πνεύματος χάριτι, ὁ ποιμὴν ὁ καλὸς, ὁ δοὺς
of-the Spirit grace the shepherd the good the(-one) having-given
τὴν ψυχὴν αὐτοῦ λύτρον ὑπὲρ ἡμῶν, καὶ τὰ ἴδια πρόβατα
the soul his (a)-ransom for us and the own sheep
καλῶν ἐξ ὀνόματος. Ταῦτα εἰπόντος τοῦ ἡγουμένου τῷ
calling by name these-things having-said the abbot —
Ζωσιμᾷ, βαλὼν αὖθις μετάνοιαν, καὶ αἰτήσας εὐχὴν, καὶ
to-Zosimas having-made again (a)-prostration and having-asked (a)-prayer and
ἐπειπὼν, Ἀμὴν, ἔμεινεν εἰς ἐκεῖνο τὸ μοναστήριον.
having-said-in-reply amen he-remained in that the monastery

Εἶδε δὲ γέροντας πράξει καὶ θεωρίᾳ ἐκλάμποντας [καὶ τῷ
he-saw and old-men in-practice and contemplation shining and in-the
πνεύματι ζέοντας], καὶ τῷ Κυρίῳ δουλεύοντας· ψαλμῳδία
spirit fervent and to-the Lord serving (the)-psalmody
γὰρ ἦν ἀκατάπαυστος, στάσιν ἔχουσα παννύχιον· καὶ ἐν
for was unceasing (a)-station having all-night and in
χερσὶν εἶχον ἀεὶ τὸ ἐργόχειρον, καὶ οἱ ψαλμοὶ ἐπὶ στόματος.
hands they-had always the handiwork and the psalms on mouth
Λόγος γὰρ ἀργὸς οὐκ ἐπολιτεύετο, φροντὶς πραγμάτων παρ᾽
(a)-word for idle not was-current care of-affairs among
ἐκείνοις οὐκ ἐχρημάτιζε, πρόσοδοί τε δι᾽ ἔτους ἀριθμούμεναί
them not was-known incomes both by year being-counted
[τε καὶ συναγόμεναι] καὶ μέριμναι βιωτικοῖς μόχθοις
both and gathered and cares to-worldly toils
ἁρμόζουσαι, οὐδὲ ὀνόματι παρ᾽ αὐτοῖς ἐγνωρίζοντο· ἀλλ᾽
fitting not-even by-name among them were-known but
ἓν ἦν [καὶ πρῶτον] καὶ μόνον τὸ σπουδαζόμενον
one(-thing) was both first and only the(-thing) striven-for
πᾶσι, τὸ ἕκαστον αὐτῶν νεκρὸν εἶναι τῷ σώματι, ὡς ἅπαξ
by-all the each of-them dead to-be in-the body as once
τῷ κόσμῳ καὶ τοῖς ἐν κόσμῳ ἅπασιν ἀποθανόντα, καὶ
to-the world and to-the(-things) in (the)-world all having-died and
μὴ ὑπάρχοντα. Τροφὴν δὲ εἶχον ἀδάπανον, τὰ θεόπνευστα
not existing food and they-had never-spent the God-inspired
λόγια· ἔτρεφον δὲ καὶ τὸ σῶμα τοῖς ἀναγκαίοις μόνοις,
oracles they-nourished and also the body with-the necessary(-things) only
ἄρτῳ καὶ ὕδατι, ὡς ἕκαστον εἶναι πρὸς τὴν θείαν
bread and water so-that each to-be toward the divine
ἀγάπην διάπυρον. Ταῦτα Ζωσιμᾶς, ὡς εἶπεν, θεώμενος
love fiery these-things Zosimas as he-said beholding
ᾠκοδομεῖτο λίαν ἐπεκτεινόμενος πρὸς τὰ ἔμπροσθεν,
was-edified greatly stretching-forward to the(-things) ahead

ἀεί τε συναύξων τὸν δρόμον τὸν ἴδιον, καὶ συνεργάτας
always and increasing the course the own and fellow-workers
εὑρὼν καλῶς τὸν θεῖον νεουργοῦντας παράδεισον.
having-found well the divine renewing paradise

6 Ἡμερῶν δὲ διελθουσῶν ἱκανῶν, ἤγγισεν ὁ καιρὸς καθ'
days and having-passed sufficient drew-near the time in
ὃν ἱερὰς νηστείας ἐκτελεῖν Χριστιανοῖς παραδέδοται,
which (the)-holy fasts to-perform to-Christians has-been-handed-down
προκαθαίρουσι ἑαυτοὺς εἰς τὴν τοῦ θείου πάθους καὶ τῆς
they-cleanse-beforehand themselves for the of-the divine passion and of-the
ἀναστάσεως τοῦ Χριστοῦ προσκύνησιν. Τῆς δὲ πύλης τοῦ
resurrection — of-Christ worship the and gate of-the
μοναστηρίου ἀνοιγομένης μηδέποτε, ἀλλὰ ἀεὶ κεκλεισμένης
monastery being-opened never but always being-shut
καὶ ποιούσης τοῖς μοναχοῖς τὴν ἄσκησιν ἀνενόχλητον·
and making for-the monks the asceticism undisturbed
οὐδὲ γὰρ ἦν ἀνοῖξαι, εἰ μή που μοναχὸς διά
not-even for was(-it-possible) to-open if not perhaps (a)-monk for
τινα χρείαν ἀναγκαίαν παρέβαλλεν· ἔρημος γὰρ ἦν ὁ
some need necessary came desolate for was the
τόπος, καὶ τοῖς ἐκ γειτόνων πλείοσι μοναχοῖς οὐκ
place and to-the from neighbors more monks not
ἀνεπίβατος δὲ μόνον ἀλλὰ καὶ ἄγνωστος. Κανὼν δέ τις
inaccessible but only but also unknown (a)-rule and certain
οὗτος ἐν τῷ μοναστηρίῳ [ἄνωθεν] ἐφυλάττετο, δι'
this in the monastery from-of-old was-kept because-of
ὃν, οἶμαι, Θεὸς καὶ Ζωσιμᾶν εἰς ἐκεῖνο τὸ μοναστήριον
which I-think God also Zosimas to that the monastery
ἤγαγεν. Τίς δὲ ὁ κανὼν, καὶ πῶς ἐφυλάττετο,
led what and (was)-the rule and how it-was-kept
ἔνθεν ἐρῶ· Τῇ Κυριακῇ, ἐξ ἧς πρώτη τῶν νηστειῶν
from-here I-will-tell on-the Lord's-day from which (the)-first of-the fasts

ἑβδομὰς ὀνομάζεσθαι εἴωθεν, ἐτελεῖτο δηλαδὴ ἡ θεία
week to-be-named is-wont was-performed namely the divine
μυσταγωγία κατὰ τὸ σύνηθες, καὶ τῶν ἀχράντων
mystagogy according-to the custom and of-the immaculate
ἐκείνων ἕκαστος καὶ ζωοποιῶν μυστηρίων ἐγίνετο μέτοχος·
those each and life-giving mysteries became (a)-partaker
καὶ τροφῆς μικρᾶς, ὡς ἔθος ἦν, μετελάμβανον. Μετὰ
and of-food little as (the)-custom was they-partook after
τοῦτο συνήγοντο πάντες εἰς τὸ εὐκτήριον, καὶ γενομένης
this were-gathered all into the oratory and having-been-made
εὐχῆς ἐκτενοῦς καὶ γονυκλισίας ἐφ' ἱκανὸν, ἠσπάζοντο
prayer earnest and kneeling for sufficient(-time) greeted
